This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

6000104940

32.
608.

JUDAICA

SEU

VETERUM SCRIPTORUM PROFANORUM

DE REBUS JUDAICIS

FRAGMENTA.

30

COLLEGIT

FR. CAROLUS MEIER,

PHILOS. D. THEOL. BACC. LEG.

JENAE,

TYPIS ET IMPENSIS FRIDERICI FROMMANN.

MDCCCXXXII.

608.

JUDAICA

SEU

VETERUM SCRIPTORUM PROFANORUM

DE REBUS JUDAICIS

FRAGMENTA.

3c

COLLEGIT

FR. CAROLUS MEIER,

PHILOS. D. THEOL. BACC. LEG.

BIBLIOTHECA BODLEIANA

JENAE,

TYPIS ET IMPENSIS FRIDERICI FROMMANN.

MDCCCXXXII.

608.

JUDAICA

SEU

VETERUM SCRIPTORUM PROFANORUM

DE REBUS JUDAICIS

FRAGMENTA.

30

COLLEGIT

FR. CAROLUS MEIER,

PHILOS. D. THEOL. BACC. LEG.

JENAE,

TYPIS ET IMPENSIS FRIDERICI FROMMANN.

MDCCCXXXII.

608.

PRAEFATIO.

Primum quum legerem, ludo literarum adscriptus, Justini Tacitique historiarum libros, fugere me non potuit, quam parum congruant, quae de rebus Judaicis ibi leguntur, cum rebus gestis ipsis Judaeorum, quarum mentionem faciunt libri codicis sacri. Plura, quae notanda mihi videbantur, tunc jam literis mandavi; mox vero, quum alios quoque scriptores profanos, et historicos et poetas, non saepius cum historia sacra Judaeorum, quam inter semet ipsos dissentientes atque discrepantes sentirem, consilium cepi, quaecunque scriptores Graecorum et Romanorum vel consulto vel per occasionem de rebus Judaicis memoraverint, in unum colligendi. Quod

consilium amicus, vinculo studiorum atque Academicae vitae mecum conjunctissimus, *Val. Fleischmann*, s. ministerii Candidatus, non solum comprobavit, sed ipse adjuvit et ad maturitatem adduxit.

Quibus *Judaicis* edendis spero, fore ut viri docti, rerum gestarum hujus gentis studiosi, cuncta e libris scriptorum profanorum, quae huc spectant, collecta et in ordinem disposita lubenter accipiant, ut in evolvendis singulis tot scriptoribus non distineantur atque impediantur, sed ut omnia oculis exposita prope simul conspicere queant.

Prius jam *Stroth* Gothanus *Aegyptiaca* collegit atque edidit, quo libello tanquam exemplari usus sum. Textum editionum optimarum, quae mihi praesto erant, secutus sum; notas vero nonnisi brevioribus illis fragmentis addidi, quae minus perspicua videbantur ad intelligendum. Argumenti summam in lectorum commoditatem margini adposui una cum aliorum scriptorum locis, qui in eadem re enarranda aut consentiunt aut discrepant. Denique rerum indicem addidi, nemini ut spero molestum.

Scribebam Jenae, Calend. Maj. MDCCCXXXII.

Fr. Carolus Meier.

INDEX.

Abrahamus primus patriarcha p. 74 — 79.
Ader contra Salomonem rebellavit p. 79.
Agrippa Palaestinam recepit p. 56.
Annus lunaris p. 52.
Antiochus subigit Judaeos p. 61.
Antiochus Epiphanes relig. Jud. exstinguere conatur p. 18. 81.
Asphaltites lacus p. 16. 23. 44. 63.
Balsamum p. 13. 17. 44. 62.
Belus amnis p. 45.
Cadytis urbs p. 1.
Callirrhoë fons p. 23.
Campi torridi p. 44.
Casius mons p. 1.
Danaus et Cadmus duces Judaeorum p. 19.
Esseni eorumque mores p. 24 — 33.
Ezechias Hierosolymorum rex p. 80.
Gaza urbs p. 37.
Herodes rex, sacerdotio praefectus p. 15. 46. 56.
Hierichus p. 13.
Hierosolyma condita p. 3. 5. 11. 19. 41.
— — — capta et diruta p. 13. 46. 53. 56 — 58. 70. 81
Hierosolymorum descriptio p. 13. 49. 53.
Hierosolymus et Judas Judaeorum duces p. 41.
Hircanus et Aristobulus reges p. 53. 55.
Joppa, portus Judaeorum p. 10. 37.
Jordanis amnis p. 22. 44.
Josua successor Mosis p. 74. 79.
Judaea deserta p. 60.
— — fertilis p. 8. 44. 73.
— — provincia redacta p. 46.
— — Syriae pars p. 37.

6000104940

32.
608.

6000104940

32.
608.

JUDAICA

SEU

VETERUM SCRIPTORUM PROFANORUM

DE REBUS JUDAICIS

FRAGMENTA.

3c

COLLEGIT

FR. CAROLUS MEIER,

PHILOS. D. THEOL. BACC. LEG.

JENAE,

TYPIS ET IMPENSIS FRIDERICI FROMMANN.

MDCCCXXXII.

608.

τέσσαρας μυριάδας ἀνδρῶν πρὸς φυλακήν. ἐνθάδε κατὰ θερείαν ἤρχετο, τὰ μὲν σιτομετρῶν καὶ μισθοφορίαν παρεχόμενος, τὰ δὲ καὶ ταῖς ἐξοπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνάζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον ἐτελεύτησεν. μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσεν, τέσσαρα καὶ τεσσαράκοντα ἔτη καλούμενος Βηών. μεθ' ὃν ἄλλος, Ἀπαχνάς, ἓξ καὶ τριάκοντα ἔτη καὶ μῆνας ἑπτά. ἔπειτα δὲ καὶ Ἀπωφις, ἓν καὶ ἑξήκοντα, καὶ Ἰανίας πεντήκοντα καὶ μῆνα ἕνα. ἐπὶ πᾶσι δὲ καὶ Ἀσσις ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο. καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι ἄρχοντες, πολεμοῦντες ἀεὶ καὶ ποθοῦντες μᾶλλον τῆς Αἰγύπτου ἐξᾶραι τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ σύμπαν αὐτῶν ἔθνος Ὑκσως, τοῦτο δέ ἐστι βασιλεῖς ποιμένες. τὸ γὰρ Ὑκ καθ' ἱερὰν γλῶσσαν βασιλέα σημαίνει, τὸ δὲ Σως ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν κοινὴν διάλεκτον. καὶ οὕτω συντιθέμενον γίνεται Ὑκσως. τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι. ἐν δ' ἄλλῳ ἀντιγράφῳ οὐ βασιλεῖς σημαίνεσθαι διὰ τῆς τοῦ Ὑκ προσηγορίας, ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας. — — — Τούτους δὲ τοὺς προκατωνομασμένους βασιλέας τοὺς τῶν ποιμένων καλουμένων, καὶ τοὺς ἐξ αὐτῶν γενομένους, κρατῆσαι τῆς Αἰγύπτου φησὶν [Μανεθὼν] ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα· μετὰ ταῦτα δὲ τῶν ἐκ τῆς Θηβαΐδος καὶ τῆς ἄλλης Αἰγύπτου βασιλέων γενέσθαι, φησίν, ἐπανάστασιν ἐπὶ τοὺς ποιμένας. καὶ πόλεμον αὐτοῖς συρραγῆναι μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως, ᾧ ὄνομα εἶναι Ἀλισφραγμούθωσις, ἡττωμένους, φησί, τοὺς ποιμένας ὑπ' αὐτοῦ, ἐκ μὲν τῆς ἄλλης Αἰγύπτου πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον, ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον. Αὔαριν ὄνομα τῷ τόπῳ. Τοῦτον, φησὶν ὁ Μανεθών, ἅπαντα τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν ὀχυρῷ, καὶ τὴν λείαν τὴν ἑαυτῶν. Τὸν δὲ Ἀλισφραγμουθωσέως υἱὸν Θούμμω-

Nomen hujus gentis: *Hycsos* = Reges pastores.

Aegyptum tenent.

Bellum contra eos parant reges Aegypti,

quorum unus, Alisphragmuthosis, debellat pastores, atque expellit Aegypto.

σιν, ἐπιχειρῆσαι μὲν αὐτοὺς διὰ πολιορκίας ἑλεῖν κατὰ κράτος, ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι προσεδρεύσαντα τοῖς τείχεσιν. ἐπεὶ δὲ τῆς πολιορκίας ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν Αἴγυπτον ἐκλιπόντες ὅπῃ βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι. τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικεσίᾳ μετὰ τῶν κτήσεων οὐκ ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων ἀπὸ τῆς Αἰγύπτου τὴν ἔρημον εἰς Συρίαν ὁδοιπορῆσαι. φοβουμένους δὲ τὴν Ἀσσυρίων δυναστείαν, (τότε γὰρ ἐκείνους τῆς Ἀσίας κρατεῖν) ἐν τῇ νῦν Ἰουδαίᾳ καλουμένῃ πόλιν οἰκοδομησαμένους τοσαύταις μυριάσιν ἀνθρώπων ἀρκέσουσαν, Ἱεροσόλυμα ταύτην ὀνομάσαι.

Expulsi per desertum tendunt in Judæam, ibique urbem aedificant Hierosolymam.

Joseph. c. Ap. I, 26. Ἀμένωφίν φησι ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατήν, ὥσπερ Ὥρος, εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων· ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ Ἀμενώφει, πατρὸς δὲ Πάπιος ὄντι, θείας δὲ δοκοῦντι μετεσχηκέναι φύσεως, κατά τε σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ τοῦτον τὸν ὁμώνυμον, ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό τε λεπρῶν καὶ τῶν ἄλλων μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν ποιήσειεν. ἡσθέντα δὲ τὸν βασιλέα, πάντας τοὺς τὰ σώματα λελωβημένους ἐκ τῆς Αἰγύπτου συναγαγεῖν· γενέσθαι δὲ τοῦ πλήθους μυριάδας ὀκτώ. καὶ τούτους εἰς τὰς λιθοτομίας τὰς ἐν τῷ πρὸς ἀνατολὴν μέρει τοῦ Νείλου ἐμβαλεῖν αὐτόν, ὅπως ἐργάζοιντο καὶ τῶν ἄλλων Αἰγυπτίων οἱ ἐγκεχωρισμένοι. εἶναι δέ τινας ἐν αὐτοῖς καὶ τῶν λογίων ἱερέων φησὶ, λέπρᾳ συγκεχυμένους. Τὸν δὲ Ἀμένωφιν ἐκεῖνον τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα, ὑποδεῖσθαι πρὸς αὐτόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται. καὶ προσθέμενον εἰπεῖν, ὅτι συμμαχήσουσίν τινες τοῖς μιαροῖς, καὶ τῆς Αἰγύπτου κρατήσουσιν ἐπ' ἔτη δεκατρία. μὴ τολμῆσαι μὲν αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γραφὴν δὲ καταλιπόντα περὶ πάντων ἑαυτὸν ἀνελεῖν. ἐν ἀθυμίᾳ δὲ εἶναι τὸν βασιλέα. κἄπειτα κατὰ λέξιν οὕτω γέγραφεν·

Amenophis, Aegyptiorum rex, hanc omnes corpore debiles et leprosos ex Aegypto migrare jussit.

Rogatibus vero urbem concessit desertam, nomine Avarim.

τῶν δὲ ταῖς λατομίαις ὡς χρόνος ἱκανὸς διῆλθε ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασιλεὺς, ἵνα πρὸς κατάλυσιν αὐτοῖς καὶ σκέπην ἀπομερίσῃ τὴν τότε τῶν ποιμένων ἐρημωθεῖσαν πόλιν, Αὔαριν συνεχώρησεν. ἔστι δ' ἡ πόλις κατὰ τὴν θεολογίαν ἄνωθεν Τυφώνιος. οἱ δὲ εἰς ταύτην εἰσελθόντες, καὶ τὸν τόπον τοῦτον εἰς ἀπόστασιν ἔχοντες, ἡγεμόνα αὐτῶν λεγόμενόν τινα τῶν Ἡλιοπολιτῶν ἱερέων Ὀσάρσιφον ἐστήσαντο. καὶ τούτῳ πειθαρχήσοντες ἐν πᾶσιν ὡρκωμότησαν. ὁ δὲ πρῶτον μὲν αὐτοῖς νόμον ἔθετο, μήτε προσκυνεῖν θεοὺς μήτε τῶν μάλιστα ἐν Αἰγύπτῳ θεμιστευομένων ἱερῶν ζώων ἀπέχεσθαι μηδενὸς, πάντα τε θύειν καὶ ἀναλοῦν. συνάπτεσθαι δὲ μηδενὶ, πλὴν τῶν συνωμοσμένων. τοιαῦτα δὲ νομοθετήσας, καὶ πλεῖστα ἄλλα, μάλιστα τοῖς Αἰγυπτίοις ἐθισμοῖς ἐναντιούμενα, ἐκέλευσεν πολυχειρίᾳ τὰ τῆς πόλεως ἐπισκευάζειν τείχη, καὶ πρὸς πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς Ἀμένωφιν τὸν βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ' ἑαυτοῦ καὶ τῶν ἄλλων ἱερέων καὶ συμμεμιασμένων, ἔπεμψε πρέσβεις πρὸς τοὺς ὑπὸ Τεθμώσεως ἀπελασθέντας ποιμένας, εἰς πόλιν τὴν καλουμένην Ἱεροσόλυμα. καὶ τὰ καθ' ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συνατιμασθέντας δηλώσας, ἠξίου συνεπιστρατεύειν ὁμοθυμαδὸν ἐπ' Αἴγυπτον. ἐπάξειν μὲν οὖν αὐτοὺς ἐπηγγείλατο, πρῶτον μὲν εἰς Αὔαριν τὴν προγονικὴν αὐτῶν πατρίδα καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις παρέξειν ἀφθόνως, ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι, καὶ ῥᾳδίως ὑποχείριον αὐτοῖς τὴν χώραν ποιήσειν. οἱ δὲ ὑπερχαρεῖς γενόμενοι παντες προθύμως εἰς εἴκοσι μυριάδας ἀνδρῶν συνεξώρμησαν, καὶ μετ' οὐ πολὺ ἧκον εἰς Αὔαριν. Ἀμένωφις δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ὡς ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοθον, οὐ μετρίως συνεχύθη, τῆς παρ' Ἀμενώφεως τοῦ Ἠάπιος μνησθεὶς προδηλώσεως. καὶ πρότερον συναγαγὼν πλῆθος Αἰγυπτίων, καὶ βουλευσάμενος μετὰ τῶν ἐν τούτοις ἡγεμόνων, τά τε ἱερὰ ζῶα, τὰ πρῶτα μάλιστα ἐν τοῖς ἱεροῖς τιμώμενα ὥςγ' ἑαυτὸν μετεπέμψατο, καὶ τοῖς κατὰ

Ducem sibi constituunt, qui eis leges dat maxime contrarias Aegyptiorum moribus.

Cum Solymitis, prius jam a Tethmosi depulsis, sese conjungunt, denuo invadentes Aegyptum.

μέρος ἱερεῦσιν παρήγγειλεν, ὡς ἀσφαλέστατα τῶν θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ υἱὸν Σέθων τὸν καὶ Ῥαμέσσην ἀπὸ Ῥάψεως τοῦ πατρὸς ὠνομασμένον, πενταέτη ὄντα, ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς τοῖς ἄλλοις Αἰγυπτίοις οὖσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχιμωτάτων, καὶ τοῖς πολεμίοις ἀπαντήσασιν οὐ συνέβαλεν· ἀλλὰ μέλλειν θεομαχεῖν νομίσας, παλινδρομήσας ἧκεν εἰς Μέμφιν. ἀναλαβών τε τόν τε Ἄπιν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῶα, εὐθὺς εἰς Αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν Αἰγυπτίων ἀνήχθη. χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν Αἰθιόπων βασιλεύς· ὅθεν ὑποδεξάμενος, καὶ τοὺς ὄχλους πάντας ὑπολαβὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττόν γε καὶ στρατόπεδον Αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε τοῖς παρ' Ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου. καὶ τὰ μὲν κατὰ τὴν Αἰθιοπίαν τοιαῦτα. οἱ δὲ Σολυμῖται κατελθόντες σὺν τοῖς μιαροῖς τῶν Αἰγυπτίων, οὕτως ἀνοσίως τοῖς ἀνθρώποις προσηνέχθησαν, ὥστε τὴν τῶν προειρημένων κράτησιν χειρίστην φαίνεσθαι τοῖς τότε τὰ τούτων ἀσεβήματα θεωμένοις. καὶ γὰρ οὐ μόνον πόλεις καὶ κώμας ἐνέπρησαν, οὐδὲ ἱεροσυλοῦντες οὐδὲ λυμαινόμενοι ξόανα θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ τοῖς αὐτοῖς ὀπτανίοις τῶν σεβαστευομένων ἱερῶν ζώων χρώμενοι διετέλουν, καὶ θύτας καὶ σφαγεῖς τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι, καὶ γυμνοὺς ἐξέβαλον. λέγεται δὲ ὅτι τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεὺς, τὸ γένος Ἡλιουπολίτης, ὄνομα Ὀσαρσὶφ, ἀπὸ τοῦ ἐν Ἡλίου πόλει θεοῦ Ὀσίρεως, ὡς μετέβη εἰς τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ προσηγορεύθη Μωϋσῆς.

Aegyptum vastant.

Moses, genere Heliopolitanus.

Polybius. 200 a. Ch.

Histor. lib. V. c. 70. ed. Schweigh. T. II. p. 364.

Philoteria et Scythopolis Antiocho traduntur.

Ἡ δὲ Φιλοτερία κεῖται παρ' αὐτὴν τὴν λίμνην, εἰς ἣν ὁ καλούμενος Ἰορδάνης ποταμὸς εἰσβάλλων, ἐξίησι πάλιν εἰς τὰ πεδία τὰ περὶ τὴν Σκυθῶν πόλιν προσαγορευομένην. Γενόμενος δὲ καθ' ὁμολογίαν ἐγκρατὴς ἀμφοτέρων τῶν προειρημένων πόλεων, εὐθαρσῶς ἔσχε πρὸς τὰς μελλούσας ἐπιβολάς· διὰ τὸ τὴν ὑποτεταγμένην χώραν ταῖς πόλεσι ταύταις, ῥαδίως δύνασθαι παντὶ τῷ στρατοπέδῳ χορηγεῖν, καὶ δαψιλῆ παρασκευάζειν τὰ κατεπείγοντα πρὸς τὴν χρείαν.

Laudatur fertilitas hujus terrae.

Libri XVI reliquiae, ed. Schweigh. T. III. p. 642.

Scopas, dux Ptolemaei, recipit Judaeam.

Ὁ δὲ τοῦ Πτολεμαίου στρατηγὸς Σκόπας, ὁρμήσας εἰς τοὺς ἄνω τόπους, κατεστρέψατο ἐν τῷ χειμῶνι τὸ τῶν Ἰουδαίων ἔθνος.

Cicero. 100 a. Ch.

Judaei servituti nati.

Orat. de Provinciis consularibus c. 5. Jam vero publicanos miseros, (me etiam miserum, illorum ita de me meritorum miseriis ac dolore) tradidit [Gabiajus] in servitutem *Judaeis et Syris, nationibus natis servituti.*

Pro Flacco c. 28. Sequitur [contra Flaccum] auri illa invidia Judaici. [2]) — — — Scis [Laeli], quanta sit manus, quanta concordia, quantum valeat in concionibus. — — — Quum *aurum Judaeorum nomine quotannis ex Italia et ex omnibus provinciis Hierosolyma exportari* soleret, Flaccus sanxit edicto, ne ex Asia exportari liceret. Quis est, judices, qui hoc non vere laudare possit? *Exportari aurum* non

Aurum e provinciis exportant. Joseph. Ant. XIV, 7, 2.

2) Cf. *Cujacius* ad lib. 10. Cod. Justinian. Tit. XXV.

oportere, cum saepe antea Senatus, tum me Consule, gravissime judicavit. Huic autem *barbarae superstitioni* resistere severitas? *multitudinem Judaeorum, flagrantem nonnunquam in concionibus*, pro republica contemnere, gravitatis summae fuit?

Gens barbarae superstitionis, flagrans nonnunquam in concionibus.

At „Cn. Pompejus, captis Hierosolymis, victor ex illo fano nihil attigit.“ Inprimis hoc, ut multa alia sapientis; quod in tam *suspiciosa ac maledica civitate* locum sermoni obtrectatorum non reliquit. Non enim, credo, religionem et Judaeorum et hostium, impedimento praestantissimo imperatori, sed pudorem fuisse. — — — Sua cuique civitati religio, Laeli, est: nostra nobis. Stantibus Hierosolymis, pacatisque Judaeis, tamen istorum religio sacrorum a splendore hujus imperii, gravitate nominis nostri, majorum institutis abhorrebat: nunc vero hoc magis, quod *illa gens, quid de imperio nostro sentiret, ostendit armis; quam cara Diis immortalibus esset, docuit, — quod est victa, quod elocata, quod servata.*

Cn. Pompejus, captis Hierosolymis, calumniam suspiciosae hujus gentis effugere voluit.

Abhorret religio Judaeorum a splendore nominis atque imperii Romanorum. *Joseph.* c. Ap. II, 11. *Minucius Felix*, Octav. c. 10.

Horatius. 60 a. Ch.

Serm. I. 4, vs. 142. — — — Ac veluti te
Judaei cogemus in hanc concedere turbam [3]).
Serm. I. 5, vs. 100. — — — Credat Judaeus Apella [4]).
Serm. I. 9, vs. 69. Hodie tricesima sabbata [5]): Vin' tu

Judaei proselytas faciunt vel coactos. *Juven.* Sat. XIV, 96 ss. Superstitio eorum in proverbium venit. *Tacit.* Hist. V, 13. Sabbata Judaeorum a

3) In omnibus Asiae minoris provinciis, imperio subjectis Romanorum, Judaei collocaverant domicilia, liberum habentes usum sacrorum. Illic vero, nec minus Romae, nihil intermittebant ad proselytas faciendos; immo cogebant aliquando, dummodo justa occasio nata foret. Nec infitiandum, permultos gentilès tunc temporis ad sacra Judaeorum transiisse, nec omnibus renuntiantes moribus Ethnicorum.

4) „*Apellas*“ dicit Judaeos; hoc est secundum Porphyrium: qui pellem non habeant in parte genitali. *Cicero* in ep. VII, 25. *Apellam* quendam Fabii Galli libertum fuisse indicat; unde etiam nomen proprium id fuisse intelligimus.

5) *Scaliger* intelligit tricesimum lunaris mensis diem.

gentilibus quoque celebrata. *Tacit.* Hist. V, 5. *Sueton.* Tib. 36. *Dio Cass.* XXXVI. *Joseph.* B. J. VII, 3. c. Ap. II, 10.

Curtis Judaeis oppedere? Nulla mihi, inquam, Relligio est. At mî: sum paulo infirmior unus Multorum.

[Gentiles igitur sabbata celebrare videmus una cum Judaeis ipsis.

Cf. *Ovidius*, de art. amat. I, 75.

Nec te praetereat Veneri ploratus Adonis,
Cultaque Judaeo septima sacra Syro.]

Strabo. 60 a. Ch. — 25 p. Ch.

Lib. XVI. ed. Falcon. p. 1081. ss. Casaub. p. 523. ss.

Judaea mixtis gentibus habitata.

Τῆς δὲ Ἰουδαίας τὰ μὲν ἑσπέρια ἄκρα τα πρὸς τῷ Κασίῳ κατέχουσιν οἱ Ἰδουμαῖοί τε καὶ ἡ λίμνη. Ναβαταῖοι δ' εἰσὶν οἱ Ἰδουμαῖοι· κατὰ στάσιν δὲ ἐκπεσόντες ἐκεῖθεν προσεχώρησαν τοῖς Ἰουδαίοις, καὶ τῶν νομίμων τῶν αὐτῶν ἐκείνοις ἐκοινώνησαν· πρὸς θαλάττῃ δὲ ἡ Σερβωνὶς τὰ πολλὰ κατεῖχε καὶ ἡ συνεχὴς μεχρὶ Ἱεροσολύμων· καὶ γὰρ ταῦτα πρὸς θαλάττῃ ἐστίν· ἀπὸ δὲ τοῦ ἐπινείου τῆς Ἰόππης εἴρηται, ὅτι ἐστὶν ἐν ὄψει· [ed. Casaub. p. 522. Ἐν ὕψει γάρ ἐστιν ἱκανῶς τὸ χωρίον [Ἰόππη], ὥστ' ἀφορᾶσθαί φασιν ἀπ' αὐτοῦ τὰ Ἱεροσόλυμα, τὴν τῶν Ἰουδαίων

Joppe, portus Judaeorum.

μητρόπολιν· καὶ δὴ καὶ ἐπινείῳ τούτῳ κέχρηνται, καταβάντες μέχρι θαλάττης, οἱ Ἰουδαῖοι]. ταῦτα μὲν προσάρκτια· τὰ πολλὰ δ' ὡς ἕκαστα εἰσὶν ὑπὸ φύλων οἰκούμενα μικτῶν, ἔκ τε Αἰγυπτίων ἐθνῶν καὶ Ἀραβίων καὶ Φοινίκων. [p. 1063. Casaub. p. 515. Ἔνιοι δὲ τὴν Συρίαν ὅλην εἴς τε Κοιλοσύρους καὶ Φοίνικας διελόντες τούτοις ἀναμεμίχθαι φασὶ τέτταρα ἔθνη· Ἰουδαίους, Ἰδουμαίους, Γαζαίους, Ἀζωτίους]. τοιοῦτοι γὰρ οἱ τὴν Γαλιλαίαν ἔχοντες, καὶ τὴν Ἱεριχοῦντα, καὶ τὴν Φιλαδέλφειαν καὶ Σαμάρειαν, ἣν Ἡρώδης Σεβαστὴν ἐπωνόμασεν. οὕτω δ' ὄντων μιγάδων, ἡ κρατοῦσα μάλιστα φήμη τῶν περὶ

τὸ ἱερὸν τὸ ἐν τοῖς Ἱεροσολύμοις πιστευομένων, Αἰγύπτιους ἀποφαίνει τοὺς προγόνους τῶν νῦν Ἰουδαίων λεγομένων. Μωσῆς γάρ τις τῶν Αἰγυπτίων ἱερέων ἔχων τὶ μέρος τῆς καλουμένης χώρας, ἀπῆρεν ἐκεῖσε ἐνθένδε δυσχεράνας τὰ καθεστῶτα, καὶ συνεξῆραν αὐτῷ πολλοὶ τιμῶντες τὸ θεῖον. Ἔφη γὰρ ἐκεῖνος καὶ ἐδίδασκεν, ὡς οὐκ ὀρθῶς φρονοῦσιν οἱ Αἰγύπτιοι θηρίοις εἰκάζοντες καὶ βοσκήμασι τὸ θεῖον· οὐδ' οἱ Λίβυες· οὐκ εὖ δὲ οὐδ' οἱ Ἕλληνες, ἀνθρωπομόρφους τυποῦντες· εἴη γὰρ ἓν τοῦτο μόνον θεὸς τὸ περιέχον ἡμᾶς ἅπαντας καὶ γῆν καὶ θάλατταν, ὃ καλοῦμεν οὐρανὸν καὶ κόσμον, καὶ τὴν τῶν ὄντων φύσιν. Τούτου δὴ τίς ἂν εἰκόνα πλάττειν θαρρήσειε νοῦν ἔχων ὁμοίαν τινὶ τῶν παρ' ἡμῖν; ἀλλ' ἐᾷν δεῖ πᾶσαν ξοανοποιΐαν· τέμενος ἀφορίσαντας καὶ σηκὸν ἀξιόλογον τιμᾷν εἴδους χωρίς. Ἐγκοιμᾶσθαι δὲ καὶ αὐτοὺς ὑπὲρ ἑαυτῶν, καὶ ὑπὲρ τῶν ἄλλων ἄλλους τοὺς εὐονείρους. καὶ προσδοκᾷν δεῖν παρὰ τοῦ Θεοῦ, καὶ μετὰ δικαιοσύνης, τοὺς δ' ἄλλους μὴ προσδοκᾷν. Ἐκεῖνος μὲν οὖν τοιαῦτα λέγων ἔπεισεν εὐγνώμονας ἄνδρας οὐκ ὀλίγους, καὶ ἀπήγαγεν εἰς τὸν τόπον τοῦτον, ὅπου νῦν ἐστὶ τὸ ἐν τοῖς Ἱεροσολύμοις κτίσμα [6]). Κατέσχε δὲ ῥᾳδίως οὐκ ἐπίφθονον ὂν τὸ χωρίον, οὐδ' ὑπὲρ οὗ ἄν τις ἐσπουδασμένως μαχέσαιτο· ἔστι γὰρ πετρῶδες, αὐτὸ μὲν εὔυδρον, τὴν δὲ κύκλῳ χώραν ἔχον λυπρὰν καὶ ἄνυδρον, τὴν δ' ἐντὸς ἑξήκοντα σταδίων καὶ ὑπόπετρον. Ἅμα δ' ἀντὶ τῶν ὅπλων τὰ ἱερὰ προὐβάλλετο καὶ τὸ θεῖον, ἵδρυσιν τούτου ζητεῖν ἀξιῶν, καὶ παραδώσειν ὑπισχνούμενος τοιοῦτον σεβασμὸν, καὶ τοιαύτην ἱεροποιΐαν, ἥτις οὐδὲ δαπάναις ὀχλήσει τοὺς χρωμένους,

Judaeorum origo.

Moses unus ex Aegyptiis sacerdotibus.

Quae docuerit de rebus divinis.

Diod. Sic. I. p. 105.

Judaeos in eam regionem deduxit, ubi nunc condita sunt Hierosolyma.

Regionis descriptio.

Multa magnaque Moses pollicitus imperium adeptus est.

6) Strabo historiam Judaeorum a Mose usque ad reditum a Babylone ignorare atque hos duos adventus in Judaeam commiscere videtur.

οὔτε θεοφορίαις, οὔτε ἄλλαις πραγματείαις ἀτόποις. οὗτος μὲν οὖν εὐδοκιμήσας τούτοις συνεστήσατο ἀρχὴν οὐ τὴν τυχοῦσαν, ἁπάντων προσχωρησάντων ῥᾳδίως τῷ κύκλῳ διὰ τὴν ὁμιλίαν καὶ τὰ προτεινόμενα· οἱ δὲ διαδεξάμενοι, χρόνους μέν τινας ἐν τοῖς αὐτοῖς διέμειναν δικαιοπραγοῦντες καὶ θεοσεβεῖς ὡς ἀληθῶς ὄντες· ἔπειτ' ἐφισταμένων ἐπὶ τὴν ἱεροσύνην τὸ μὲν πρῶτον δεισιδαιμόνων, ἔπειτα τυραννικῶν ἀνθρώπων, ἐκ μὲν τῆς δεισιδαιμονίας αἱ τῶν βρωμάτων ἀποσχέσεις, ὥνπερ καὶ νῦν ἔθος ἐστὶν αὐτοῖς ἀπέχεσθαι, καὶ περιτομαὶ, καὶ ἐκτομαί. [Lib. XVII. ed. Falcon. p. 1165. Casaub. p. 566. Καὶ τοῦτο δὲ τῶν ζηλουμένων μάλιστα παρ' αὐτοῖς (τοῖς Αἰγυπτίοις) τὸ πάντα τρέφειν τὰ γεννώμενα παιδία· καὶ τὸ περιτέμνειν, καὶ τὰ θήλεα ἐκτέμνειν, ὅπερ καὶ τοῖς Ἰουδαίοις νόμιμον. οὗτοι δέ εἰσιν Αἰγύπτιοι τὸ ἀνέκαθεν, καθάπερ εἰρήκαμεν ἐν τῷ περὶ ἐκείνων λόγῳ]. καὶ εἴ τινα τοιαῦτα ἐνομίσθη· ἐκ δὲ τῶν τυραννίδων τὰ λῃστήρια. οἱ μὲν γὰρ ἀφιστάμενοι τὴν χώραν ἐκάκουν, καὶ αὐτὴν καὶ τὴν γειτνιῶσαν· οἱ δὲ συμπράττοντες τοῖς ἄρχουσι καθήρπαζον τὰ ἀλλότρια, καὶ τῆς Συρίας κατεστρέφοντο καὶ τῆς Φοινίκης πολλήν. Ἦν δ' ὅμως εὐπρέπειά τις περὶ τὴν ἀκρόπολιν αὐτῶν, οὐχ ὡς τυραννεῖον βδελυττομένων, ἀλλ' ὡς ἱερὸν σεμνούντων τε καὶ σεβομένων. — — — — Μωσῆς καὶ οἱ διαδεξάμενοι ἐκεῖνον πᾶς μὲν ἀρχὰς λαβόντες οὐ φαύλας, ἐκτραπόμενοι δ' ἐπὶ τὸ χεῖρον.

Ἤδη δ' οὖν φανερῶς τυραννουμένης τῆς Ἰουδαίας, πρῶτος ἀνθ' ἱερέως ἀνέδειξεν ἑαυτὸν βασιλέα Ἀλέξανδρος·[7]) τούτου δ' ἦσαν υἱοὶ Ὑρκανός τε καὶ Ἀριστόβουλος· διαφερομένων δὲ περὶ τῆς ἀρχῆς ἐπῆλθε Πομπήϊος, καὶ κατέλυσεν αὐτοὺς, καὶ τὰ ἐρύματα αὐ-

Judaei primum justi et vere religiosi. Justin. XXXVI, c. 2.

Deinde superstitiosi et tyrannici.

Sue abstinent, circumciduntur et excidunturur.

Regionem vastaverunt vicinam, atque Syriae Phoeniciaeque partes subegerunt.

Arcem ut templum venerantur.

Pro sacerdote primum se regem fecit Alexander.

Pompejus capta diruit

7) Immo Aristobulus est, qui primus sacerdotium mutavit in regnum; eique successit frater Alexander. cf. *Joseph.* Ant. XIII, 19 et 20.

τῶν κατέσπασε, καὶ αὐτὰ ἐν πρώτοις τὰ Ἱεροσόλυμα βίᾳ καταλαβών. ἦν γὰρ πετρῶδες εὐερκὲς ἔρυμα, ἐντὸς μὲν εὔυδρον, ἐκτὸς δὲ παντελῶς διψηρόν· τάφρον λατομητὴν ἔχον, βάθος μὲν ἑξήκοντα ποδῶν, πλάτος δὲ πεντήκοντα καὶ διακοσίων. ἐκ δὲ τοῦ λίθου τοῦ λατομηθέντος ἐπεπύργωτο τὸ τεῖχος τοῦ ἱεροῦ. Κατελάβετο δ' ὥς φασι, τηρήσας τὴν τῆς νηστείας ἡμέραν, ἡνίκα ἀπείχοντο οἱ Ἰουδαῖοι παντὸς ἔργου, πληρώσας τὴν τάφρον, καὶ ἐπιβαλὼν τὰς διαβάθρας, κατασπάσαι δ' οὖν ἐκέλευσε τὰ τείχη πάντα καὶ ἀνεῖλεν εἰς δύναμιν τὰ ληστήρια, καὶ τὰ γαζοφυλάκια τῶν τυράννων. Ἦν δὲ δύο μὲν τὰ ταῖς εἰσβολαῖς ἐπικείμενα τοῦ Ἱερικοῦντος Θρήξ τε καὶ Ταῦρος, ἄλλα δε Ἀλεξάνδριόν τε καὶ Ὑρκάνιον, καὶ Μαχαιρούς, καὶ Λωσίας, καὶ τὰ περὶ τὴν Φιλαδελφίαν, καὶ ἡ περὶ Γαλιλαίαν Σκυθόπολις. Ἱερικοὺς δ' ἐστὶ πεδίον κύκλῳ περιεχόμενον ὀρεινῇ τινι, καί που καὶ θεατροειδῶς πρὸς αὐτῷ κεκλιμένη· ἐνταῦθα δ' ἐστὶν ὁ Φοινικών, μεμιγμένην ἔχων καὶ ἄλλην ὕλην ἥμερον καὶ εὔκαρπον, πλεονάζον δὲ τῷ φοίνικι, ἐπὶ μῆκος σταδίων ἑκατὸν, διάρρυτος ἅπας καὶ μεστὸς κατοικιῶν· ἔστι δ' αὐτοῦ καὶ βασίλειον, καὶ ὁ τοῦ βαλσάμου Παράδεισος· ἔστι δὲ τὸ φυτὸν θαμνῶδες, κυτίσῳ ἐοικὸς καὶ τερμίνθῳ, ἀρωματίζον. οὗ τὸν φλοιὸν ἐπισχίσαντες, ὑπολαμβάνουσιν ἀγγείοις τὸν ὀπὸν, γλίσχρῳ γάλακτι παραπλήσιον· ἀναληφθεὶς δ' εἰς κογχάρια λαμβάνει πῆξιν. λύει δὲ κεφαλαλγίας θαυμαστῶς, καὶ ὑποχύσεις ἀρχομένας, καὶ ἀμβλυωπίας· τίμιος οὖν ἐστι, καὶ διότι ἐνταῦθα μόνον γεννᾶται· καὶ ὁ Φοινικὼν δὲ τοιοῦτος, ἔχων τὴν καρυωτὴν φοίνικα ἐνταῦθα μόνον, πλὴν τοῦ Βαβυλωνίου, καὶ τοῦ ἐπέκεινα πρὸς τὴν ἕω. Μεγάλη οὖν ἀπ' αὐτῶν ἡ πρόσοδος. Καὶ τῷ ξυλοβαλσάμῳ δὲ ὡς ἀρώματι χρῶνται. Ἡ δὲ Σιρβωνὶς λίμνη[8]) πολλὴ μέν ἐστι· καὶ

Hierosolyma. Desertio urbis.

Judaei ab omni opere abstinent jejunii die.

Polyb. V, 70. Hierichus, planities montibus circumdata, ubi Palmetum.

Balsami Paradisus.

Sirbonis lacus ejusque

8) Sirbonidem lacum cum Asphaltite Noster confundere videtur.

bitumen. Tacit. hist. V, 6. Plinius Nat. hist. V, 12.

γὰρ χιλίων σταδίων εἰρήκασί τινες τὸν κύκλον. τῇ μέντοι παραλίᾳ παρεκτέταται μικρῷ τι πλέον τῶν διακοσίων σταδίων μῆκος ἐπιλαμβάνουσα, ἀγχιβαθὴς, βαθύτατον ἔχουσα ὕδωρ, ὥστε μὴ δεῖν κολύμβου, ἀλλὰ τὸν ἐμβάντα, καὶ μέχρις ὀμφαλοῦ προεμβάντα, εὐθὺς ἐξαίρεσθαι· μεστὴ δ' ἐστὶν ἀσφάλτου αὕτη· ταύτην δὲ ἀναφυσᾶται κατὰ καιροὺς ἀτάκτους ἐκ μέσου τοῦ βάθους μετὰ πομφολύγων, ὡς ἂν ζέοντος ὕδατος· κυρτουμένη δὲ ἡ ἐπιφάνεια, λόφου φαντασίαν παρέχει· συναναφέρεται δὲ καὶ ἄσβολος πολλὴ καπνώδης μὲν, πρὸς δὲ τὴν ὄψιν ἄδηλος. ὑφ' ἧς κατιοῦται καὶ χαλκὸς καὶ ἄργυρος καὶ πᾶν τὸ στιλπνὸν μέχρι καὶ χρυσοῦ. ἀπὸ δὲ τοῦ κατιοῦσθαι τὰ σκεύη γνωρίζουσιν οἱ περιοικοῦντες ἀρχομένην τὴν ἀναβολὴν τῆς ἀσφάλτου, καὶ παρασκευάζονται πρὸς τὴν μεταλλείαν αὐτοῦ, ποιησάμενοι σχεδίας καλαμίνας. ἔστι δ' ἡ ἄσφαλτος γῆς βῶλος, ὑγραινομένη καὶ διαχεομένη· πάλιν δὲ μεταβάλλουσα εἰς πάγον ἰσχυρὸν ὑπὸ τοῦ ψυχροῦ ὕδατος, οἷόν ἐστι τὸ τῆς λίμνης ὕδωρ, ὥστε τομῆς καὶ κοπῆς δεῖσθαι εἶτ' ἐπιπολάζουσα διὰ τὴν φύσιν τοῦ ὕδατος ἣν ἔφαμεν μηδὲ κολύμβου δεῖσθαι, μηδὲ βαπτίζεσθαι τὸν ἐμβάντα, ἀλλ' ἐξαίρεσθαι· προσπλεύσαντες δὲ ταῖς σχεδίαις, κόπτουσι καὶ φέρουσι τῆς ἀσφάλτου ὅσον ἕκαστος δύναται· τὸ μὲν οὖν συμβαῖνον τοιοῦτον. Γόητας δὲ ὄντας, σκήπτεσθαί φησιν

Quae narraverint Posidonius et alii hoc de lacu, ejusque aquarum natura.

ἐπῳδὰς ὁ Ποσειδώνιος τοὺς ἀνθρώπους, καὶ οὖρα καὶ ἄλλα δυσώδη ὑγρὰ, ἃ περικαταχέαντας, καὶ ἐκπιάσαντας, πήττειν τὴν ἄσφαλτον, εἶτα τέμνειν· εἰ μή τις ἐστὶν ἐπιτηδείοτης τῶν οὔρων τοιαύτη, καθάπερ καὶ ἐν ταῖς κύστεσι τῶν λιθιώντων, καὶ ἐκ τῶν παιδικῶν οὔρων ἡ χρυσοκόλλα συνίσταται· ἐν μέσῃ δὲ τῇ λίμνῃ τὸ πάθος συμβαίνειν εὔλογον, ὅτι καὶ ἡ πηγὴ τοῦ πυρὸς καὶ τῆς ἀσφάλτου κατὰ μέσον ἐστὶ, καὶ τὸ πλῆθος. ἄτακτος δὲ ἡ ἀναφύσησις, ὅτι καὶ ἡ τοῦ πυρὸς κίνησις οὐχ ἔχει τάξιν ἡμῖν φανερὰν, ὥσπερ καὶ ἄλλων πνευμάτων πολλῶν. Τοιαῦτα δὲ καὶ τὰ ἐν Ἀπωλλωνίᾳ τῇ Ἠπειρώτιδι. Τοῦ δ'

ἔμπυρον τὴν χώραν εἶναι τὰ ἄλλα τεκμήρια φέρουσι πολλά· καὶ γὰρ πέτρας τινὰς ἐπικεκαυμένας δεικνύουσι τραχείας περὶ Μοασάδα, καὶ σήραγγας πολλαχοῦ, καὶ γῆν τεφρώδη· σταγόνας δὲ πίσσης ἐκ κλεισιάδων λειβομένας καὶ δυσώδεις πόρρωθεν ποταμοὺς ζέοντας, κατοικίας δὲ ἀνατετραμμένας σποράδην· ὥστε πιστεύειν τοῖς θρυλλουμένοις ὑπὸ τῶν ἐγχωρίων, ὡς ἄρα ᾠκοῦντό ποτε τρισκαίδεκα πόλεις ἐνταῦθα, ὧν τῆς μητροπόλεως Σοδόμων, σώζοιτο κύκλος ἑξήκοντά που σταδίων. ὑπὸ σεισμῶν καὶ ἀναφυσημάτων πυρὸς καὶ θερμῶν ὑδάτων ἀσφαλτωδῶν τε καὶ θειωδῶν ἡ λίμνη προπέσοι, καὶ πέτραι περίληπτοι γένοιντο· αἵ τε πόλεις αἱ μὲν καταποθεῖεν, ἃς δ' ἐκλείποιεν οἱ δυνάμενοι φυγεῖν. Ἐρατοσθένης δέ φησι τἀναντία· λιμναζούσης τῆς χώρας, ἐκρήγμασιν ἀνακαλυφθῆναι τὴν πλείστην, καθάπερ τὴν θάλασσαν. Ἔστι δὲ καὶ ἐν τῇ Γαδαρίδι ὕδωρ μοχθηρὸν λιμναῖον οὗ τὰ γευσάμενα κτήνη τρίχας καὶ ὁπλὰς καὶ κέρατα ἀποβάλλει. Ἐν δὲ ταῖς καλουμέναις Ταριχείαις ἡ λίμνη μὲν ταριχείας ἰχθύων ἀστείας παρέχει, φύει δὲ δένδρα καρποφόρα, μηλέαις ἐμφερῆ· χρῶνται δ' Αἰγύπτιοι τῇ ἀσφάλτῳ πρὸς τὰς ταριχείας τῶν νεκρῶν.

Bitumiuis usus.

Πομπήϊος μὲν οὖν περικόψας τινὰ τῶν ἐξιδιασθέντων ὑπὸ τῶν Ἰουδαίων κατὰ βίαν, ἀπέδειξεν . . . Ἡρώδη . . . τὴν ἱερωσύνην. τῶν δ' ἀπὸ γένους τισὶν ὕστερον Ἡρώδης ἀνὴρ ἐπιχώριος, παραδὺς εἰς τὴν ἱερωσύνην, τοσοῦτον διήνεγκε τῶν πρὸ αὐτοῦ καὶ μάλιστα τῇ πρὸς Ῥωμαίους ὁμιλίᾳ καὶ πολιτείᾳ, ὥστε καὶ βασιλεὺς ἐχρημάτισε, δόντος τὸ μὲν πρῶτον Ἀντωνίου τὴν ἐξουσίαν, ὕστερον δὲ καὶ Καίσαρος τοῦ Σεβαστοῦ. τῶν δ' υἱῶν τοὺς μὲν αὐτὸς ἀνεῖλεν, ὡς ἐπιβουλεύσαντας αὐτῷ· τοὺς δὲ τελευτῶν διαδόχους ἀπέλιπε, μερίδας αὐτοῖς ἀποδούς. Καῖσαρ δὲ καὶ τοὺς υἱοὺς ἐτίμησε τοῦ Ἡρώδου, καὶ τὴν ἀδελφὴν Σαλώμην, καὶ τὴν ταύτης θυγατέρα Βερενίκην· οὐ μέντοι εὐτύχησαν οἱ παῖδες, ἀλλ' ἐν αἰτίαις ἐγένοντο. Καὶ ὁ

Pompejus Herodem sacerdotio praefecit, qui postea ab Antonio et Caesare Augusto rex creatus est.

Filii ejus successores.

μὲν ἐν φυγῇ διετέλεσε παρὰ τοῖς Ἀλλόβριξι Γαλάταις λαβὼν οἴκησιν· οἱ δὲ θεραπείᾳ πολλῇ μόλις εὕροντο κάθοδον, τετραρχίας ἀποδοθείσας ἑκατέρῳ.

Diodorus Siculus. 10 p. Ch.

Bibl. hist. Tom. I. lib. I. p. 32. ed. Wess. p. 17. ed. Rhodomani. Οἱ δὲ οὖν Αἰγύπτιοί φασι καὶ μετὰ ταῦτα ἀποικίας πλείστας ἐξ Αἰγύπτου κατὰ πᾶσαν διασπαρῆναι τὴν οἰκουμένην. — — τό τε τῶν Κόλχων ἔθνος ἐν τῷ Πόντῳ καὶ τὸ τῶν Ἰουδαίων ἀνὰ μέσον Ἀραβίας καὶ Συρίας οἰκῆσαι τινὰς ὁρμηθέντας παρ' ἑαυτῶν. Διὸ καὶ παρὰ τοῖς γένεσι τούτοις ἐκ παλαιοῦ παραδεδόσθαι τὸ περιτέμνειν τοὺς γεννωμένους παῖδας, ἐξ Αἰγύπτου μετενηνεγμένου τοῦ νομίμου.

Judaeorum origo. Moseorum circumcidendi pueros.

p. 64. ed. Wess. p. 35. ed. Rhod. Ὅτι δὲ τοῦτο τὸ γένος [τῶν Κόλχων] Αἰγυπτιακὸν ἔστι, σημεῖον εἶναι τὸ περιτέμνεσθαι τοὺς ἀνθρώπους παραπλησίως τοῖς κατ' Αἴγυπτον. Διαμένοντος τοῦ νομίμου παρὰ τοῖς ἀποίκοις, καθάπερ καὶ παρὰ τοῖς Ἰουδαίοις.

Bibl. hist. Tom. I. lib. I. p. 105. ed. Wess. p. 59. ed. Rhodom. Παρὰ δὲ τοῖς Ἰουδαίοις Μωσῆν [λέγουσι] τὸν Ἰαῶ ἐπικαλούμενον θεὸν [sc. τοὺς νόμους αὐτῷ διδόναι προσποιήσασθαι]. εἴτε θαυμαστὴν καὶ θείαν ὅλως ἔννοιαν εἶναι κρίναντας τὴν μέλλουσαν ὠφελήσειν ἀνθρώπων πλῆθος, εἴτε καὶ πρὸς τὴν ὑπεροχὴν καὶ δύναμιν τῶν εὑρεῖν λεγομένων τοὺς νόμους ἀποβλέψαντα τὸν ὄχλον, μᾶλλον ὑπακούσεσθαι διαλαβόντας.

Moses, primus legislator Judaeorum, Deum docuit, qui *Jao* dicitur. *Macrob.* Sat. 1.

Lib. II. p. 92. ed. Rhodom. Ἔστι δ' ἐν τῇ χώρᾳ τῶν Ναβαταίων λίμνη μεγάλη, φέρουσα πολλὴν ἄσφαλτον, ἐξ ἧς λαμβάνουσιν οὐκ ὀλίγας πρόσοδους· αὕτη δ' ἔχει τὸ μὲν μῆκος σταδίων ὡς πεντακοσίων, τὸ δὲ πλάτος ὡς ἑξήκοντα· τὸ ὕδωρ, δυσῶδες καὶ διάπικρον, ὥστε μὴ δύνασθαι μήτε ἰχθὺν τρέφειν, μήτε ἄλλο τῶν καθ' ὕδατος

Asphaltites lacus. Magnitudo ejus. Aquarum natura. Ejus bitumen. *Plin.* Nat. hist. V, 12.

εἰωθότων ζώων εἶναι. ἐκβαλλόντων δ' εἰς αὐτὴν ποταμῶν μεγάλων, τῇ γλυκύτητι διαφόρων, τούτων μὲν περιγίνεται κατὰ τὴν δυσωδίαν, ἐξ αὐτῆς δὲ μέσης κατ' ἐνιαυτὸν ἐκφυσᾷ ἀσφάλτου μέγεθος, ποτὲ μὲν μεῖζον ἢ τρίπλεθρον, ἔστι δ' ὅτε δυοῖν πλέθρων. ἐφ' ὧν δὴ συνήθως οἱ περιοικοῦντες βάρβαροι, τὸ μὲν μεῖζον καλοῦσι ταῦρον, τὸ δ' ἔλαττον μόσχον ἐπονομάζουσιν, ἐπιπλεούσης δὲ τῆς ἀσφάλτου πελαγίας, ὁ τόπος φαίνεται τοῖς μὲν ἐξ ἀποστήματος θεωροῦσιν οἱονεὶ νῆσος· τὴν δ' ἔκπτωσιν τῆς ἀσφάλτου συμβαίνει φανερὰν γίνεσθαι τοῖς ἀνθρώποις πρὸ ἡμερῶν εἴκοσι. κύκλῳ γὰρ τῆς λίμνης ἐπὶ πολλοὺς σταδίους ὀσμὴ προσπίπτει μετὰ πνεύματος, καὶ πᾶς ὁ περὶ τὸν τόπον ἄργυρός τε καὶ χρυσὸς, καὶ χαλκὸς ἀποβάλλει τὴν ἰδιότητα τοῦ χρώματος. ἀλλ' αὕτη μὲν ἀποκαθίσταται πάλιν, ἐπειδὰν ἀναφυσῆσαι συμβῇ πᾶσαν τὴν ἄσφαλτον· ὁ δὲ πλησίον τόπος, ἔμπυρος ὢν καὶ δυσώδης, ποιεῖται τὰ σώματα τῶν ἀνθρώπων ἐπίνοσα, καὶ παντελῶς ὀλιγοχρόνια. ἀγαθὴ δ' ἐστὶ φοινίκων φυτοῖς ὅσην αὐτῆς συμβαίνει ποταμοῖς διειλῆφθαι χρησίμοις, ἢ πηγαῖς δυναμέναις ἀρδεῦσαι. γίνεται δὲ περὶ τοῖς τόποις τούτοις ἐν αὐλῶνί τινι τὸ καλούμενον βάλσαμον, ἐξ οὗ πρόσοδον λαμπρὰν λαμβάνουσιν, οὐδαμοῦ μὲν τῆς ἄλλης οἰκουμένης εὑρισκομένου τοῦ φυτοῦ τούτου, τῆς δ' ἐξ αὐτοῦ χρείας εἰς φάρμακα τοῖς ἰατροῖς καθ' ὑπερβολὴν εὐθετούσης.

Palmeta et balsamum.

Tom. II. Eclog. XXXIV, 1. p. 524. ed. Wess. p. 901. ed. Rhodom. Ὡς Ἀντίοχος ὁ βασιλεύς, φησιν, ἐπολιόρκει Ἱεροσόλυμα, οἱ δὲ Ἰουδαῖοι μέχρι μέν τινος ἀντέσχον. Ἐξαναλωθέντων δὲ τῶν ἐπιτηδείων ἁπάντων, ἠναγκάσθησαν περὶ διαλύσεως διαπρεσβεύσασθαι. Οἱ δὲ πλείους αὐτῷ τῶν φίλων συνεβούλευον κατὰ κράτος αἱρήσειν τὴν πόλιν καὶ τὸ γένος ἄρδην ἀνελεῖν τῶν Ἰουδαίων. Μόνους γὰρ ἁπάντων ἐθνῶν ἀκοινωνήτους εἶναι τῆς πρὸς ἄλλο ἔθνος συμμιξίας καὶ πολεμίους ὑπο-

Antiochus a delendo gentem Judaicam contra amicorum consilium sibi temperat.

Judaei omnibus gentibus infesti; ex Aegypto pulsi.

λαμβάνειν πάντας. Ἀπεδείκνυον δὲ καὶ τοὺς προγόνους αὐτῶν ὡς ἀσεβεῖς καὶ μισουμένους παρὰ θεῶν, ἐξ ἁπάσης τῆς Αἰγύπτου πεφυγαδευμένους. Τοὺς γὰρ ἀλφοὺς ἢ λέπρας ἔχοντας ἐν τοῖς σώμασι, καθαρμοῦ χάριν, ὡς ἐναγεῖς συναθροισθέντας, ὑπερορίους ἐκβεβλῆσθαι. τοὺς δὲ ἐξορισθέντας καταλαβέσθαι μὲν τοὺς περὶ τὰ Ἱεροσόλυμα τόπους, συστησαμένους δὲ τὸ τῶν Ἰουδαίων ἔθνος, παραδόσιμον ποιῆσαι τὸ μῖσος τὸ πρὸς τοὺς ἀνθρώπους. Διὰ τοῦτο δὲ καὶ νόμιμα παντελῶς ἐξηλλαγμένα καταδεῖξαι, τὸ μηδενὶ ἄλλῳ ἔθνει τραπέζης κοινωνεῖν τὸ παράπαν, μηδ' εὐνοεῖν. ὑπέμνησαν δὲ αὐτὸν καὶ περὶ τοῦ γενομένου μίσους τοῖς προγόνοις πρὸς τοῦτο τὸ ἔθνος· Ἀντίοχος γὰρ ὁ προσαγορευθεὶς Ἐπιφανὴς, καταπολεμήσας τοὺς Ἰουδαίους, εἰσῆλθεν εἰς τὸν ἄδυτον τοῦ θεοῦ σηκὸν, οὗ νόμιμον εἰσιέναι μόνον τὸν ἱερέα. Εὑρὼν δὲ ἐν αὐτῷ λίθινον ἄγαλμα ἀνδρὸς βαθυπώγωνος, καθήμενον ἐπ' ὄνου, μετὰ χεῖρας ἔχον βιβλίον. Τοῦτο μὲν ὑπέλαβε Μωσέως εἶναι, τοῦ κτήσαντος τὰ Ἱεροσόλυμα καὶ συστησαμένου τὸ ἔθνος, πρὸς δὲ τούτοις νομοθετήσαντος τὰ μισάνθρωπα παράνομα ἔθη τοῖς Ἰουδαίοις· αὐτὸς δὲ συστήσας τὴν μισανθρωπίαν πάντων ἐθνῶν, ἐφιλοτιμήθη καταλῦσαι τὰ νόμιμα. Διὸ τῷ ἀγάλματι τοῦ κτίστου καὶ τῷ ὑπαίθρῳ βωμῷ τοῦ θεοῦ, μεγάλην ὖν θύσας τό τε αἷμα προσέχεεν αὐτοῖς, καὶ τὰ κρέα σκευάσας προσέταξε τῷ μὲν ἀπὸ τούτων βωμῷ τὰς ἱερὰς αὐτῶν βίβλους καὶ περιεχούσας τὰ μιαόξενα νόμιμα καταρᾶναι· τὸν δὲ ἀθάνατον λεγόμενον παρ' αὐτοῖς λύχνον καὶ καιόμενον ἀδιαλείπτως ἐν τῷ ναῷ κατασβέσαι· τῶν δὲ κρεῶν ἀναγκάσας προσενέγκασθαι τὸν ἀρχιερέα καὶ τοὺς ἄλλους Ἰουδαίους. Τοῦτα δὲ διεξιόντες οἱ φίλοι τὸν Ἀντίοχον παρεκάλουν μάλιστα μὲν ἄρδην ἀνελεῖν τὸ ἔθνος· εἰ δὲ μὴ, καταλῦσαι τὰ νόμιμα καὶ συναναγκάσαι τὰς ἀγωγὰς μεταθέσθαι. Ὁ δὲ βασιλεὺς μεγαλόψυχος ὢν καὶ τὸ ἦθος ἥμερος, λαβὼν ὁμήρους, ἀπέλυσε τῶν ἐγκλημάτων τοὺς Ἰουδαίους, φό-

Antiochus Epiphanes religionem Judaicam exstinguere conatus. Legislatoris imago.

Joseph. Ant. XIII, 8, 2 f. Apocal. XIII, 16.

Lychnus perpetuo in templo ardens.

ρους τε τοὺς ὀφειλομένους πραξάμενος καὶ τὰ τείχη περιελὼν τῶν Ἱεροσολύμων.

Eclog. XL, 1. Tom. II. p. 542 ss. ed. Wess. Tom. II. p. 921. ed. Rhodom. Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς Ἰουδαίους πόλεμον [9]), οἰκεῖον εἶναι διαλαμβάνομεν προδιελθεῖν ἐν κεφαλαίοις τὴν τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν, καὶ τὰ παρ' αὐτοῖς νόμιμα. Κατὰ τὴν Αἴγυπτον τὸ παλαιὸν, λοιμικῆς περιστάσεως γενομένης, ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον. Πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων, καὶ διηλλαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας, καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πάτριους τῶν θεῶν τιμάς. Ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. Εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν, οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξεῤῥίφησαν (ὥς τινές φασιν) εἰς τὴν Ἑλλάδα καί τινας ἑτέρους τόπους ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι. Ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόῤῥω μὲν κειμένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους. Ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς, φρονήσει δὲ πολλῇ καὶ ἀνδρείᾳ πλεῖστον διαφέρων. Οὗτος δὲ καταλαβόμενος τὴν χώραν, ἄλλας τε πόλεις ἔκτισε, καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ἐνομάζομένην Ἱεροσόλυμα. Ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν. Καὶ τὰς τιμὰς καὶ ἁγιαστείας τοῦ θείου κατέδειξε. Καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. Διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλὰς διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελεώτατον [10]) νομίζεσθαι,

Judaeorum origo. Aegypto expulsi sunt.

Danaus et Cadmus Judaeorum in Graeciam duces.

Judaeorum dux Moses.

Hierosolyma condita. Templum ibi. Religio. Leges. Tribus XII.

9) Bellum fuisse videtur, quo Pompejus captis Hierosolymis Aristobulum vinctum Romam ad triumphum abduxit. cf. *Joseph.* Ant. XIV, 4.

10) Cf. *Philo* de profug. p. 477. Τέλειος δ' ἀριθμὸς ὁ δώδεκα·

καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. Ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε, διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεὸν, ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν, καὶ τῶν ὅλων κύριον. Τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι, καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς. Διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ συμπαρόντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε. Τὴν δὲ τριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν, καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας. τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων. καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. Τοῦτον προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων· ταῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα· καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπειθεῖς γίνεσθαι τοὺς Ἰουδαίους, ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. Προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τῆς τελευτῆς, ὅτι Μωσῆς ἀκούσας τοῦ θεοῦ, τάδε λέγει τοῖς Ἰουδαίοις.

Quae de numine docuerit supremo.

Sacrificia.

Vitae ratio hujus gentis. Sacerdotes et magistratus.

Joseph. c. Ap. II, 21.

Joseph. B. J. IV, 2. Philo de monarch. p. 828. Pontifex maximus.

Ἐποιήσατο δὲ ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν καὶ τοὺς νέους ἠνάγκαζε καρτερίαν τε καὶ ἀνδρείαν ἀσκεῖν καὶ (τὸ σύνολον) πάσης ὑπομονὴν κακοπαθείας· ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν. καὶ πολλὴν κατακτησάμενος χώραν, κατεκληρούχησε· τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς

Leges de disciplina militari.

De fundis dividendis.

μάρτυς δ' ὁ ζωδιακὸς ἐν οὐρανῷ κύκλος. — Μωϋσῆς δ' οὐκ ἐν ὀλίγοις ὑμνεῖ τὸν ἀριθμὸν δώδεκα φυλὰς τοῦ ἔθνους ἀναγράφων.

δὲ ἱερεῦσι μείζονας, ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους, ἀπερίσπαστοι συνεχῶς προσεδρεύσωσι ταῖς τοῦ θεοῦ τιμαῖς. οὐκ ἐξῆν δὲ τοῖς ἰδιώταις τοὺς ἰδίους κλήρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους, ἐκθλίβωσι τοὺς ἀπορωτέρους καὶ κατασκευάζωσιν ὀλιγανδρίαν· τεκνοτροφεῖν δὲ ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας. καὶ δι' ἀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον· καὶ τὰ περὶ τοὺς γάμους τε καὶ τὰς τῶν τελευτώντων ταφάς, πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. Κατὰ δὲ ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας, ἐπὶ τετάρτης τῶν Περσῶν ἡγεμονίας, καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη.

De patrimonio.

De liberis educandis.

De matrimoniis. *Joseph.* c. Ap. II. 24. *Philo* leg. I. p. 778 sq. Legum antiquatio. Contra *Joseph.* c. Ap. I, 22.

Plinius. 25—79 p. Ch.

Natur. hist. lib. V. c. 12. Juxta Syria litus occupat, quondam terrarum maxima et pluribus distincta nominibus. Namque Palaestina vocabatur, qua contingit Arabas et Judaea et Coele dein Phoenice: et qua recedit intus Damascena: ac magis etiamnum meridiana, Babylonia. Et eadem Mesopotamia inter Euphratem et Tigrin: quaque transit Taurum, Sophene: citra vero etiam Comagene et ultra Armeniam, Adiabene, Assyria ante dicta, et ubi Ciliciam attingit, Antiochia. Longitudo ejus inter Ciliciam et Arabiam CDLXX mill. passuum est. Latitudo a Seleucia Pieria, ad oppidum in Euphrate Zeugma, CLXXV mill. passuum. *Qui subtilius dividunt, circumfundi Syria Phoenicen volunt: et esse oram maritimam Syriae, cujus pars sit Idumaea et Judaea, deinde Phoenice, deinde Syria.* Id quod praejacet mare totum, Phoenicium

Terrae finiumque descriptio Palaestinae.

appellatur. A Pelusio Chabriae castra, *Casius mons*, delubrum Jovis Casii, tumulus Magni Pompeji. Ostracine Arabia finitur, a Pelusio LXV mill. passuum. Mox Idumaea incipit, et *Palaestina*, ab emersu *Sirbonis lacus*, quem quidam CL mill. passuum circuitu tradidere: Herodotus Casio monti applicuit: *nunc est palus modica*. Oppida: Rhinocolura et intus Raphea: Gaza et intus Anthedon; mons Angaris. Regio per oram Samaria. Oppidum Ascalo liberum, Azotus Jamneae duae, altera intus. Joppe Phoenicum, antiquior terrarum inundatione, ut ferunt. Insidet collem praejacente saxo, in quo vinculorum Andromedae vestigia ostendunt. Colitur illic fabulosa Ceto. Inde Apollonia: Stratonis turris, eadem Caesarea, ab Herode rege condita: nunc colonia prima Flavia a Vespasiano Imperatore deducta. Finis Palaestines centum octoginta novem millibus passuum a confinio Arabiae: deinde Phoenice. Intus autem Samariae oppida: Neapolis, quod antea Mamortha dicebatur: Sebaste in monte, et altiore Gamula.

Sirbonidis lacus magnitudo. *Herodot.* III, 5.

Oppida Palaestinae.

Supra Idumaeam et Samariam Judaea longe lateque funditur. Pars ejus Syriae juncta, Galilaea vocatur: Arabiae vero et Aegypto proxima Peraea, asperis dispersa montibus, et a caeteris Judaeis Jordane amne discreta. Reliqua Judaea dividitur in toparchias decem, quo dicemus ordine: Hiericuntem palmetis consitam, fontibus irriguam, Emmaum, Lyodam, Joppicam, Aorabatenam, Gophniticam, Thamniticam, Bethleptephenen, Orinen, in qua fuere *Hierosolyma, longe clarissima urbium Orientis,* non Judaeae modo: Herodium cum oppido illustri ejusdem nominis.

Singulae Palaestines terrae.

Judaeae toparchiae.

Joseph. de bell. Jud. III, 2. V, 4.

Jordanis amnis oritur e fonte Paneade, qui cognomen dedit Caesareae, de qua dicemus: amnis amoenus, et quatenus locorum situs patitur, ambitiosus, ac-

Jordanis amnis, ejusque fons.

colisque se praebens, velut invitus Asphaltiten lacum dirum natura petit, a quo postremo ebibitur, aquasque laudatas perdit pestilentibus mixtas. Ergo ubi prima convallium fuit occasio, in lacum se fundit, quem plures Genesaram vocant, XVI mill. passuum longitudinis, VI mill. latitudinis, amoenis circumseptum oppidis: ab oriente, Juliade et Hippo, a meridie, Tarichea, quo nomine aliqui et lacum appellant: ab occidente Tiberiade, aquis calidis salubri.

Asphaltiten lacum petit.

jactu arsisse; et manere vestigia terramque ipsam specie torridam vim frugiferam perdidisse. Nam cuncta sponte edita, aut manu sata, sive herbae tenues aut flores ut solitam in speciem adolevere, atra et inania velut in cinerem vanescunt. Ego, sicut inclitas quondam urbes igne coelesti flagrasse concesserim, ita halitu lacus infici terram, corrumpi superfusum spiritum, eoque foetus segetum et autumni putrescere reor, solo coeloque juxta gravi. Et *Belus amnis* Judaico mari inlabitur: circa cujus os conlectae arenae, admixto nitro, in vitrum excoquuntur, modicum id litus et egerentibus inexhaustum.

Belus amnis. Judaicum mare. *Plin.* XXXVI, 26. Arenae in vitrum excoctae. *Plinius*, l. c. *Joseph.* B. J. I, 2, 9.

Cap. 8. *Magna pars Judaeae vicis dispergitur,* habent et oppida. Hierosolyma genti caput. Illic immensae opulentiae templum et primis munimentis urbs, dein Regia. Templum intimis clausum; ad fores tantum Judaeo aditus: limine, praeter sacerdotes, arcebantur. Dum Assyrios penes Medosque et Persas oriens fuit, despectissima pars servientium; postquam Macedones praepotuere, rex Antiochus, demere superstitionem et mores Graecorum dare adnixus, quo minus teterrimam gentem in melius mutaret, Parthorum bello prohibitus est. Nam ea tempestate Arsaces desciverat [22]). Tum Judaei, Macedonibus invalidis, Parthis nondum adultis (et Romani procul erant) sibi ipsi reges imposuere, qui mobilitate vulgi expulsi, resumpta per arma dominatione, fugationes civium, urbium eversiones, fratrum, conjugum, parentum neces aliaque solita regibus ausi, superstitionem fovebant, quia honor sacerdotii, firmamentum potentiae, adsumebatur.

Hierosolyma. Templum immensae opulentiae, quod adire nonnisi Judaeo licet. *Ev. Luc.* 1, 10. *Joseph.* Ant. VI, 9, 4. XV, 14, 11. B. J. V, 5. Judaeorum fata varia.

Cap. 9. Romanorum primus Cn. Pompejus Ju-

Judaeorum sors sub Ro-

22) Antiochum Epiphanem Tacitus confundit cum Antiocho, cognomine Θεῷ.

manis. Cn. Pompejus Judaeos domuit et diruit Hierosolyma.

daeos domuit templumque jure victoriae ingressus est. Inde vulgatum, nulla intus deum effigie vacuam sedem et inania arcana. Muri Hierosolymorum diruti, delubrum mansit. Mox civili inter nos bello, postquam in ditionem M. Antonii provinciae cesserant, rex Parthorum Pacorus Judaea potitus interfectusque a P. Ventidio et Parthi trans Euphratem redacti; Judaeos C. Sosius subegit. Regnum ab Antonio Herodi datum victor Augustus auxit. Post mortem Herodis, nihil exspectato Caesare, Simo quidam regium nomen invaserat. Is a Quinctilio Varo, obtinente Syriam, punitus, et gentem coercitam liberi Herodis tripartito rexere Sub *Tiberio* quies. [*Annal.* lib. II. c. 42. Syria et Judaea, fessae oneribus, deminutionem tributi orabant. — Tunc decreto Patrum permissae Germanico provinciae, quae mari dividuntur, majusque imperium, quoquo adisset, quam his, qui sorte aut missu principis obtinerent. — Cap. 85. Actum et de sacris Aegyptiis Judaicisque pellendis, *factumque* patrum consultum, *ut quatuor millia libertini generis, ea superstitione infecta, quis idonea aetas, in insulam Sardiniam veherentur*, coercendis illic latrociniis et, si ob gravitatem coeli interissent, vile damnum; *ceteri cederent Italia, nisi certam ante diem profanos ritus exuissent.*] Dein jussi a *C. Caesare*, effigiem ejus in templo locare, arma potius sumsere; quem motum Caesaris mors dirimit. *Claudius*, defunctis regibus aut ad modicum redactis, Judaeam provinciam equitibus Romanis aut libertis permisit, e quibus Antonius Felix, per omnem saevitiam ac libidinem, jus regium servili ingenio exercuit, Drusilla, Cleopatrae et Antonii nepte, in matrimonium accepta, ut ejusdem Antonii Felix progener, Claudius nepos esset. — [*Annal.* XII. c. 54. At non frater ejus [Pallantis libertini, ob antiquam parcimoniam

Parthi Judaea potiti sunt.

Herodes rex Judaeorum.

Quae evenerint Tiberio regnante.

Agitur de pellendis sacris Judaicis.

Judaei in insulam Sardiniam relegantur.

Sueton. Tiber. 36.

Cur rebellaverint Judaei. Cf. *Tacit.* Ann. XII, 5, 4. *Joseph.* Ant. XVIII, 10. B. J. II, 9.

Judaea provincia equitibus Romanis permittitur.

Felix Judaeae praepositus,

laudati] cognomento Felix, pari moderatione agebat, jam pridem Judaeae impositus et cuncta malefacta sibi inpune ratus, tanta potentia subnixo. Sane praebuerant Judaei speciem motus orta seditione, postquam C. Caesari haud obtemperatum esset, cognita caede ejus, sedata. Manebat metus, ne quis principum eadem inperitaret. Atque interim Felix intempestivis remediis delicta accendebat, aemulo ad deterrima Ventidio Cumano, cui pars provinciae habebatur: ita divisis, ut huic Galilaeorum natio, Felici Samaritae parerent, discordes olim et tum, contemptu regentium, minus coercitis odiis. Igitur raptare inter se, inmittere latronum globos, componere insidias et aliquando proeliis congredi spoliaque et praedas ad procuratores referre. Hique primo laetari, mox gliscente pernicie, cum arma militum interjecissent, caesi milites. Arsissetque bello provincia, ni Quadratus, Syriae rector, subvenisset. Nec diu adversus Judaeos, qui in necem militum proruperant, dubitatum, quin capite poenas luerent; Cumanus et Felix cunctationem adferebant, quia Claudius, causis rebellionis auditis, jus statuendi etiam de procuratoribus dederat. Sed Quadratus Felicem inter judices ostentavit, receptum in tribunal, quo studia adcusantium deterrerentur, damnatusque flagitiorum, quae duo [Felix et Cumanus] deliquerant, Cumanus et quies provinciae reddita.]

durius premit Judaeos, qui arma sumunt.

Quadrato subveniente quies provinciae reddita.

Hist. V, 10. Duravit tamen patientia Judaeis usque ad Gessium Florum procuratorem. Sub eo bellum ortum. Et comprimere coeptantem Cestium Gallum, Syriae legatum, varia proelia ac saepius adversa excepere. Qui ubi fato aut taedio occidit, missu Neronis Vespasianus fortuna famaque et egregiis ministris intra duas aestates cuncta camporum omnesque praeter Hierosolyma urbes victore exercitu tenebat. [Hist. II, 4.

Bellum ortum sub Gessio Floro. *Jos.* Ant. XX, 9. B. J. II, 23. *Suéton.* Vespas. 4.

Vespasianus Judaeae praepositus. Hist. I, 10. II, 5.

plurima retinent, quin etiam rei celebratae carminibus ac fabulis, servatae a Perseo Andromedae clarum vestigium, marinae belluae ossa immania ostentant.

Plutarchus. 50—120 p. Ch.

Judaei cur abstineant carne suilla: an venerantes suem, an aversantes.

Sympos. Lib. IV. Quaest. 5. Tom. II. p. 669. ed. Xyland. Ἐπεὶ δὲ ταῦτ' ἐῤῥήθη [ὅτι οἱ Ἰουδαῖοι τὸ δικαιότατον κρέας οὐκ ἐσθίουσιν Quaest. IV.] βουλομένων τινῶν ἀντικατατείνειν, τὸν ἕτερον λόγον ἐκκρούων ὁ Καλλίστρατος, ἔφη, Πῶς ἡμῖν δοκεῖ λελέχθαι τὸ πρὸς τοὺς Ἰουδαίους, ὅτι τὸ δικαιότατον κρέας οὐκ ἐσθίουσιν; Ὑπερφυῶς, ἔφη ὁ Πολυκράτης· ἐγὼ δὲ καὶ προσδιαπορῶ, πότερον οἱ ἄνδρες τιμῇ τινι τῶν ὑῶν, ἢ μυσαττόμενοι τὸ ζῶον, ἀπέχονται τῆς βρώσεως αὐτοῦ. τὰ γὰρ παρ' ἐκείνοις λεγόμενα μύθοις ἔοικεν, εἰ μή τινας ἄρα λόγους σπουδαίους ἔχοντες οὐκ ἐκφέρουσιν. ἐγὼ μὲν τοίνυν (εἶπεν ὁ Καλλίστρατος) οἶμαί τινα τιμὴν τὸ ζῶον ἔχειν παρὰ τοῖς ἀνδράσιν. εἰ δὲ δύσμορφον ἢ ὗς καὶ θολερὸν, ἀλλ' οὐ κανθάρου καὶ γρυπὸς καὶ κροκοδείλου καὶ αἰλούρου τὴν ὄψιν ἀτοπώτερον, ἢ τὴν φύσιν ἀμουσότερον· οἷς ὡς ἁγιωτάτοις ἱερεῖς Αἰγυπτίων ἄλλοι προσφέρονται· τὴν δὲ ὖν ἀποχρηστῆσαι καὶ τιμᾶσθαι λέγουσι. πρώτη γὰρ σχίσασα τῷ προὔχοντι τῆς ὀρυχῆς (ὥς φασι) τὴν γῆν, ἴχνος ἀρόσεως ἔθηκε, καὶ τὸ τῆς ὕνεως ὑφηγήσατο ἔργον. ὅθεν καὶ τοὔνομα γενέσθαι τῷ ἐργαλείῳ λέγουσιν ἀπὸ τῆς ὑός. οἱ δὲ τὰ μαλθακὰ καὶ κοῖλα τῆς χώρας Αἰγύπτιοι γεωργοῦντες, οὐδ' ἀρότρου δέονται τοπαράπαν, ἀλλ' ὅταν ὁ Νεῖλος ἀπορρέῃ, καταβρέξας τὰς ἀρούρας, ἐπακολουθοῦντες, τὰς ὗς κατέβαλον. — — — — — — — Οἶμαι δὲ, καὶ τοὺς Ἰουδαίους, εἴπερ ἐβδελύττοντο τὴν ὖν, ἀποκτείνειν ἂν, ὥσπερ οἱ μάγοι τοὺς μῦς ἀποκτείνουσι. νῦν δὲ ὁμοίως

τῷ φαγεῖν τὸ ἀνελεῖν ἀπόῤῥητόν ἐστιν αὐτοῖς. καὶ ἴσως ἔχει λόγον· ὡς τὸν ὄνον δὲ ἀναφήναντα πηγὴν αὐτοῖς ὕδατος τιμῶσιν, οὕτως καὶ τὴν ὗν σέβεσθαι σπόρου καὶ ἀρότου διδάσκαλον γενομένην. νὴ Δία καὶ τοῦ λαγοῦ φησί τις ἀπέχεσθαι τοὺς ἄνδρας, ὡς μυσαρὸν καὶ ἀκάθαρτον δυσχεραίνοντας τὸ ζῶον. — — Τὸ δὲ ὕειον κρέας οἱ ἄνδρες ἀφοσιοῦσθαι δοκοῦσιν, ὅτι μάλιστα οἱ βάρβαροι τὰς ἐπιλευκίας καὶ λέπρας δυσχεραίνουσι, καὶ τῇ προσβολῇ τὰ τοιαῦτα καταβόσκεσθαι πάθη τοὺς ἀνθρώπους οἴονται. — — — — — —. Ἆρα (ἔφη) σὺ τὸν πατριώτην θεὸν, ὦ Λαμπρία, εὔιον ὀρσιγύναικα μαινομέναις ἀνθέοντα τιμαῖσι, Διόνυσον, ἐγγράφεις καὶ ὑποποιεῖς τοῖς Ἑβραίων ἀπόῤῥήτοις; — — — — — — — Πρῶτον μὲν ἔφη τῆς μεγίστης καὶ τελειοτάτης ἑορτῆς παρ' αὐτοῖς ὁ καιρός ἐστι καὶ ὁ τρόπος Διονύσῳ προσήκων. τὴν γὰρ λεγομένην νηστείαν ἀκμάζοντι τρυγητῷ τραπέζας τε προτίθενται παντοδαπῆς ὀπώρας, ὑπὸ σκηναῖς, καὶ καθιᾶσιν ἐκ κλημάτων μάλιστα καὶ κιττοῦ διαπεπλεγμέναις, καὶ τὴν προτέραν τῆς ἑορτῆς σκηνὴν ὀνομάζουσιν. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἄλλην ἑορτὴν οὐκ ἂν δι' αἰνιγμάτων, ἀλλ' ἄντικρυς Βάκχου καλουμένου τελοῦσιν. ἔστι δὲ καὶ κρατηροφορία τις ἑορτὴ καὶ θυρσοφορία παρ' αὐτοῖς, ἐν ᾗ θύρσους ἔχοντες εἰς τὸ ἱερὸν εἰσίασιν. εἰσελθόντες δὲ, ὅ τι δρῶσιν, οὐκ ἴσμεν. εἰκὸς δὲ βακχείαν εἶναι τὰ ποιούμενα· καὶ γὰρ σάλπιγξι μικραῖς, ὥσπερ Ἀργεῖοι τοῖς Διονυσίοις, ἀνακαλούμενοι τὸν θεὸν χρῶνται, καὶ κιθαρίζοντες ἕτεροι προσίασιν, οὓς αὐτοὶ Λευίτας προσονομάζουσιν, εἴτε παρὰ τὸν Λύσιον, εἴτε μᾶλλον παρὰ τὸ εὔιον, τῆς ἐπικλήσεως γεγενημένης. οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι. Σάββους γὰρ καὶ νῦν ἔτι πολλοὶ τοὺς Βάκχους καλοῦσι, καὶ ταύτην ἀφιᾶσι τὴν φωνὴν, ὅταν ὀργιάζωσι τῷ θεῷ καὶ τὰ μυστήρια τελῶσιν. — ἔστι δήπου καὶ παρὰ Δημοθένους λαβεῖν καὶ παρὰ Μενάνδρου. καὶ οὐκ ἀπὸ τρόπου τις ἂν φαίη, τοῦτο μὴ πε-

Asinum venerantur. *Tacit.* hist. V, 3.

Judaei Bacchum fortasse adorant. *Tacit.* Hist. V, 5.

Jejunium Judaeorum. *Sueton.* Tiber. c. 76. *Horat.* Serm. I, 5. serm. 9. *Tacit.* Hist. V, 3 et 4. *Joseph.* c. Ap. II, 7.

Sabbatorum feriae Bacchanalibus haud dissimiles.

zarus loco pollebat. Sed proelia, dolus, incendia inter ipsos et magna vis frumenti ambusta. Mox Joannes, missis per speciem sacrificandi, qui Eleazarum manumque ejus obtruncarent, templo potitur. Ita in duas factiones civitas discessit, donec, propinquantibus Romanis, bellum externum concordiam pareret.

Prodigia ante obsidium.

Cap. 13. Evenerant prodigia, quae neque hostiis neque votis piare fas habet *gens superstitioni obnoxia, religionibus adversa.* Visae per coelum concurrere acies, rutilantia arma et subito nubium igne conlucere templum. Expassae repente delubri fores et audita major humana vox, »Excedere deos,« simul ingens motus excedentium. Quae pauci in metum trahebant; pluribus persuasio inerat, antiquis sacerdotum litteris contineri, *eo ipso tempore fore, ut valesceret oriens profectique Judaea*[23]) *rerum potirentur.* Quae ambages Vespasianum et Titum praedixerat. Sed vulgus, more humanae cupidinis, sibi tantam fatorum magnitudinem interpretati, ne adversis quidem ad vera mutabantur. Multitudinem obsessorum, omnis aetatis, virile ac muliebre secus, sexcenta millia fuisse accepimus. Arma cunctis, qui ferre possent, et plures, quam pro numero, audebant. Obstinatio viris feminisque par; ac, si transferre sedes cogerentur, major vitae metus quam mortis. Hanc adversus urbem gentemque Caesar Titus, quando impetus et subita belli locus abnueret, aggeribus vineisque certare statuit. Dividuntur legionibus munia et quies praeliorum fuit, donec cuncta expugnandis urbibus reperta apud veteres aut novis ingeniis struerentur.

Exspectatio Messiae.

Obsessorum multitudo.

Joseph. Ant. VI, 17.

23) Ex hoc loco celebris auctoris Ethnicorum intelligimus, quam nota Romanis ipsis tunc temporis exspectatio fuerit Judaeorum Messiae, vaticinio praedicti prophetarum.

Suetonius. 70—130 p. Ch.

Octavian. cap. 76. Ne Judaeus quidem tam diligenter Sabbatis jejunium servat, quam ego hodie servavi[24]). Jejunio sabbata celebrant Judaei. *Justin.* XXXVI, 2. *Strabo* p. 1085.

Tiber. cap. 36. Externas ceremonias, Aegyptios Judaicosque ritus compescuit: coactis, qui superstitione ea tenebantur, religiosas vestes cum instrumento omni comburere. Judaeorum juventutem per speciem sacramenti in provincias gravioris coeli distribuit: reliquos gentis ejusdem, vel similia sectantes urbe submovit, sub poena perpetuae servitutis, nisi obtemperassent. Judaeorum sors Tiberio regnante.

Claudius, cap. 25. *Judaeos impulsore Chresto assidue tumultuantes Roma expulit*[25]). Judaei Roma expulsi. *Act.* XVIII, 2.

Vespasian. cap. 4. *Percrebuerat oriente toto vetus et constans opinio esse in fatis, ut eo tempore Judaea profecti rerum potirentur.* Id de imperatore Romano, quantum postea eventu patuit, praedictum Judaei ad se trahentes, rebellarunt. Exspectatio Messiae. *Tac.* Hist. V, 13. *Joseph.* B. J. VI, 5.

Juvenalis. 100 p. Ch.

Sat. III, 13. ss.

Hic, ubi nocturnae Numa constituebat amicae,
Nunc sacri fontis nemus et delubra locantur

Romae Judaeorum egestas.

---

24) Falsum est, sabbatis jejunium servasse Judaeos. Interdum, quod notum est, Judaei cibo abstinent, et quia proprio cultu celebrant hunc diem, omnis fere antiquitas putasse videtur jejunio sabbatum iis esse sacratum. Quam parum igitur gentiles instituta et mores hujus gentis, nedum religionis noverint doctrinas, ex his locis perspicitur. *Dio Cassius* ipse fatetur lib. XXXVI, se minime scire, cur Palaestinam incolentes Judaei vocati sint. Cf. *Tacit.* Hist. V. 2.

25) Diu Christiani a Caesaribus et omni populo Romanorum pro cultoribus religionis Mosaicae habebantur. Illo vero lusu verborum

Judaeis: quorum cophinus foenumque supellex[26]).
Omnis enim populo mercedem pendere jussa est
Arbor, et ejectis mendicat sylva Camoenis.

Sat. VI, 390. ss.

— — — — — Cophino foenoque relicto,
Arcanam Judaea tremens mendicat in aurem
Interpres legum Solymorum et magna sacerdos
Arboris[27]) ac summi fida internuncia coeli;
Implet et illa manum, sed parcius aere minuto,
Qualiacunque voles Judaei somnia vendunt[28]).

Vaticinantur pro qualitate mercedis.

Sat. XIV, 97. ss. [de moribus vi educationis inculcatis.]

Quidam sortiti metuentem sabbata patrem
Nil praeter nubes et coeli numen adorant:
Nec distare putant humana carne suillam,
Qua pater abstinuit. Mox et praeputia ponunt,
Romanas autem soliti contemnere leges
Judaicum ediscunt et servant ac metuunt jus,
Tradidit arcano quodcunque volumine Moses,
Non monstrare vias eadem nisi sacra colenti:
Quaesitum ad fontem solos deducere verpos.
Sed pater in caussa, cui septima quaeque fuit lux
Ignava, et partem vitae non attigit ullam.

Nubes adorant. *Celsus* ap. Orig. V, 6.
Abstinent suilla.
Circumcidantur.
Mali cives.
Omnibus alienigenis infensi. *Diod. Sic.* 34.
Sabbata ducunt quiete. *Tacit.* V, 4. *Diod. Sic.* 36.

Χριστός — Χρηστός — Christiani tum ipsi utebantur, tum recusabant eum. Cf. *Justin.* Apol. maj. p. 45. *Tertull.* Apol. 3. „Perperam," ait, „Chrestianus pronuntiatur a vobis." —

26) Adeo pauperes sunt Judaei, ut nihil aliud habeant, quam cophinum et foenum. Et in unaquaque sylvae olim sacrae arbore cum miserrima familia pernoctantes, mane in urbem eunt mendicatum.

27) Judaei alligabant arboribus Urbi proximis jumentum, ibique dormiebant tota nocte, ex qua mane surgebant ut vaticinatum venirent.

28) Hinc Judaeorum fallacias ostendit, qui pro mercedis qualitate praenunciant futura. (Schol.)

L. Annaeus Florus. 120 p. Ch.

Lib. III, 5. Hierosolymam defendere tentaverunt Judaei: verum hanc quoque intravit [Pompejus], et vidit illud grande *impiae gentis* arcanum patens, sub aureo vitem coelo: dissidentibusque de regno fratribus arbiter factus, regnare jussit Hircanum. Aristobulo, quia renovabat eam rem, catenas dedit.

Hierosolyma capta. Impia gens. Hircanus rex.

Dio Cassius. 155 p. Ch.

Lib. XXXVI. p. 36. ss. ed. Hanov. Κἀντεῦθεν ἐπὶ τὴν Συρίαν τὴν Παλαιστίνην, ὡς καὶ Φοινίκην κακώσαντας, ὥρμησεν (Pompejus). ἦρχον δὲ αὐτῶν Ὑρκανός τε καὶ Ἀριστόβουλος ἀδελφοί, καὶ ἐτύγχανον ὑπὲρ τῆς τοῦ σφετέρου θεοῦ (ὅστις ποτὲ οὗτός ἐστιν) ἱερωσύνης (οὕτω γὰρ τὴν βασιλείαν σφῶν ὠνόμαζον) αὐτοί τε διαφερόμενοι καὶ τὰς πόλεις στασιάζοντες. Ὁ οὖν Πομπήϊος Ὑρκανὸν μὲν οὐδεμίαν ἀξιόχρεων ἰσχὺν ἔχοντα ἀμαχεὶ εὐθὺς προσέθετο· Ἀριστόβουλον δὲ ἐς χωρίον τι κατακλείσας ὁμολογῆσαί οἱ ἠνάγκασε. Καὶ ἐπειδὴ μήτε τὰ χρήματα μήτε τὸ φρούριον παρεδίδου, ἔδησεν αὐτόν. κἀκ τούτου τοὺς μὲν ἄλλους ῥᾷον προσεποιήσατο· τὰ δὲ Ἱεροσόλυμα πολιορκῶν πράγματα ἔσχε. τὴν μὲν γὰρ ἄλλην πόλιν, εἰσδεξαμένων αὐτὸν τῶν τὰ τοῦ Ὑρκανοῦ φρονούντων, ἀπραγμόνως ἔλαβεν· αὐτὸ δὲ τὸ ἱερὸν, προκατασχόντων τῶν ἑτέρων, οὐκ ἀπόνως εἷλεν. Ἐπί γε γὰρ μετεώρου ἦν καὶ περιβόλῳ ἰδίῳ ὠχύρωτο. Καὶ εἴγε ἐν πάσαις ταῖς ἡμέραις ὁμοίως ἠμύνοντο, οὐκ ἂν αὐτὸ ἐχειρώσαντο· νῦν δὲ τὰς τοῦ Κρόνου δὴ ὠνομασμένας ἡμέρας διαλείποντες καὶ οὐδὲν τὸ παράπαν ἐν αὐταῖς δρῶντες παρέδωκαν τοῖς Ῥωμαίοις καιρὸν ἐν τῷ διακένῳ τούτῳ τὸ τεῖχος διασεῖσαι. μαθόντες γὰρ

Hyrcanus et Aristobulus Judaeam regunt. Orta dissensione inter utrumque, Romani sese immiscent rebus Judaicis. Hierosolymorum oppugnatio. Templi situs natura muniti.

τὴν ἐμποίησιν αὐτῶν ταύτην, τὸν μὲν ἄλλον χρόνον οὐδὲν σπουδῇ ἔπραττον, ταῖς δὲ δὴ ἡμέραις ἐκείναις, ἁπότε ἐκ τῆς περιτροπῆς ἐπέλθοιεν, ἐντονώτατά οἱ προσέβαλλον. Καὶ οὕτως ἑάλωσάν τε ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ, μηδ' ἀμυνόμενοι, καὶ πάντα τὰ χρήματα διηρπάσθη, ἥ τε βασιλεία τῷ Ὑρκανῷ ἐδόθη καὶ ὁ Ἀριστόβουλος ἀνηνέχθη. Ταῦτα μὲν τότε ἐν τῇ Παλαιστίνῃ ἐγένετο.

Regnum Hyrcano datum.

Οὕτω γὰρ τὸ σύμπαν ἔθνος, ὅσον ἀπὸ τῆς Φοινίκης μέχρι τῆς Αἰγύπτου παρὰ τὴν θάλασσαν τὴν ἕω παρήκει, ὑπὸ παλαιοῦ κέκληται. Ἔχουσι δὲ ἕτερον καὶ ὄνομα ἐπίκλητον· ἥ τε γὰρ χῶρα Ἰουδαία καὶ αὐτοὶ Ἰουδαῖοι ὠνομάδαται· ἡ δὲ ἐπίκλησις αὕτη ἐκείνοις μὲν οὐκ οἶδ' ὅθεν ἤρξατο γενέσθαι, φέρει δὲ καὶ ἐπὶ τοὺς ἄλλους ἀνθρώπους, ὅσοι τὰ νόμιμα αὐτῶν καίπερ ἀλλοεθνεῖς ὄντες ζηλοῦσι. Καί ἐστι καὶ παρὰ τοῖς Ῥωμαίοις τὸ γένος τοῦτο, κολασθὲν μὲν πολλάκις, αὐξηθὲν δὲ ἐπὶ πλεῖστον, ὥστε καὶ ἐς παῤῥησίαν τῆς νομίσεως ἐκνικῆσαι. Κεχωρίδαται δὲ ἀπὸ τῶν λοιπῶν ἀνθρώπων ἔς τε τὰ ἄλλα τὰ περὶ τὴν δίαιταν πάνθ', ὡς εἰπεῖν, καὶ μάλισθ' ὅτι τῶν μὲν ἄλλων θεῶν οὐδένα τιμῶσιν, ἕνα δέ τινα ἰσχυρῶς σέβουσι· οὐδ' ἄγαλμα οὐδὲν ἐν αὐτοῖς ποτε τοῖς Ἱεροσολύμοις ἔσχον· ἄῤῥητον δὲ δὴ καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι, περισσότατα ἀνθρώπων θρησκεύουσι καὶ αὐτῷ νεών τε μέγιστον καὶ περικαλλέστατον, πλὴν καθ' ὅσον ἀχανής τε καὶ ἀνώροφος ἦν, ἐξεποίησαν. Καὶ τὴν ἡμέραν τὴν τοῦ Κρόνου καλουμένην ἀνέθεσαν· καὶ ἄλλα τε ἐν αὐτῇ ἰδιαίτατα σύ ποιοῦσι καὶ ἔργου οὐδενὸς σπουδαίου προσάπτονται. Καὶ τὰ μὲν κατ' ἐκεῖνον, τίς τ' ἐστὶ καὶ ὅθεν οὕτως ἐτιμήθη, ὅπως τε περὶ αὐτὸν ἐπτόηνται, πολλοῖς τε εἴρηται καὶ οὐδὲν τῇδε τῇ ἱστορίᾳ προσήκει. Τὸ δὲ δὴ ἐς τοὺς ἑπτὰ τοὺς πλανήτας ὠνομασμένους τὰς ἡμέρας ἀνακεῖσθαι, κατέστη μὲν ὑπ' Αἰγυπτίων, πάρεστι δὲ καὶ ἐπὶ πάντας ἀνθρώπους οὐ πάλαι ποτέ, ὡς λόγῳ εἰπεῖν, ἀρξάμενον.

Nomen regionis atque gentis. *Tacit.* Hist. V, 2.

Genus ab aliis hominibus diversum.

Unum tantum Deum venerantur, *Tacit.* Hist. V, 5. ineffabilem et invisibilem.

Diem Saturni vacantes ducunt.

Aristobulus, Roma pro-

Lib. XXXIX. p. 117. Καταλιπὼν οὖν [Γαούϊος]

ἐν τῇ Συρίᾳ Σισέννᾳν τε τὸν υἱόν, — αὐτὸς δὲ ἐς τὴν Παλαιστίνην ἐλθὼν τόν τε Ἀριστόβουλον (διαδρὰς γὰρ ἐκ τῆς Ῥώμης ὑπετάραττέ τι) συνέλαβε καὶ τῷ Πομπηΐῳ ἔπεμψε· καὶ φόρον τοῖς Ἰουδαίοις ἐπέταξε καὶ μετὰ τοῦτο καὶ ἐς τὴν Αἴγυπτον ἐνέβαινεν. Lib. XLI. p. 161. Ὁ δὲ οὖν Καῖσαρ ταῦτά τε οὕτως ἐποίησε, — — καὶ τὸν Ἀριστόβουλον οἴκαδε ἐς τὴν Παλαιστίνην, ὅπως τῷ Πομπηΐῳ τὶ ἀντιπράξῃ, ἔστειλε. Lib. XLVIII. p. 372. Τὰ δ' ἄλλα ὁ Πάκορος λαβὼν ἐς Παλαιστίνην ἐσέβαλε καὶ τόν τε Ὑρκανὸν, ἃς τότε τὰ πράγματα αὐτῶν παρὰ τῶν Ῥωμαίων ἐπιτραπεὶς εἶχεν, ἔπαυσε· καὶ τὸν Ἀριστόβουλον, τὸν ἀδελφὸν αὐτοῦ, ἄρχοντα κατὰ τὸ ἐκείνου ἔθος ἀντικατέστησεν. —

fugus, regno denuo potitus est, Pacoro adjuvante.

Lib. XLVIII. p. 382. Καὶ μετὰ τοῦτο τὴν Παλαιστίνην, Ἀντίγονον τὸν βασιλεύοντα αὐτῆς ἐκφοβήσας [Ventidius, dux Antonii], κατέσχεν ἀπόνως. ὁ μὲν ταῦτά τε διῆγε καὶ χρήματα πολλὰ — καὶ παρὰ τοῦ Ἀντιγόνου, — ὅτι τῷ Πακόρῳ συνήραντο, εἰσέπραξε.

Ventidius Palaestinam recepit.

Lib. XLIX. p. 405. Γάϊος δὲ δὴ Σόσσιος τὴν ἀρχὴν τῆς τε Συρίας καὶ τῆς Κιλικίας παρ' αὐτοῦ (Antonii) λαβὼν — τὸν Ἀντίγονον, τοὺς φρουροὺς τοὺς παρ' ἑαυτῷ τῶν Ῥωμαίων ὄντας ἀποκτείναντα, μάχῃ τε ἐνίκησε, καὶ καταφυγόντα ἐς Ἱεροσόλυμα, πολιορκίᾳ κατεστρέψατο. Πολλὰ μὲν δὴ καὶ δεινὰ καὶ οἱ Ἰουδαῖοι τοὺς Ῥωμαίους ἔδρασαν (τὸ γάρ τοι γένος αὐτῶν θυμωθὲν, πικρότατόν ἐστι) πολλῷ δὲ δὴ πλείω αὐτοὶ ἔπαθον. Ἑάλωσαν μὲν γὰρ, πρότεροι μὲν ὑπὲρ τοῦ τεμένους τοῦ θεοῦ ἀμυνόμενοι, ἔπειτα δὲ καὶ οἱ ἄλλοι ἐν τῇ τοῦ Κρόνου καὶ τότε ἡμέρᾳ ὠνομασμένῃ· καὶ τοσοῦτόν γε τῆς θρησκείας αὐτοῖς περιῆν, ὥστε τοὺς προτέρους τοὺς μετὰ τοῦ ἱεροῦ χειρωθέντας παραιτήσασθαί τε τὸν Σόσσιον, ἐπεὶ ἡμέρα αὖθις ἡ τοῦ Κρόνου ἐνέστη, καὶ ἀνελθόντας ἐς αὐτὸ, πάντα μετὰ τῶν λοιπῶν τὰ νομιζόμενα ποιῆσαι. Ἐκείνους μὲν οὖν Ἡρώδῃ τινὶ ὁ Ἀντώνιος ἄρχειν ἐπέτρεψε, τὸν δὲ Ἀντίγονον ἐμα-

Judaei, gens irae acerbissimae.

Victi gravia passi sunt a Romanis.

Herodes

Idumaeus, rex Judaeae.

στίγωσε, σταυρῷ προσδήσας (ὃ μηδεὶς ἄλλος βασιλεὺς ὑπὸ τῶν Ῥωμαίων ἐπεπόνθει) καὶ μετὰ τοῦτο καὶ ἀπέσφαξεν. Ἐπὶ μὲν δὴ τοῦ Κλαυδίου τοῦ τε Νωρβάνου τοῦθ' οὕτως ἐγένετο. Lib. LIII. p. 526. Τῷ δὲ Ἡρώδῃ Ζηνοδώρου τινὸς τετραρχίαν ἐπέτρεψε [sc. Αὔγουστος].

Augustus regnum tribuit Herodi Zenodori.

Herodes [Archelaus] relegatus.

Lib. LV. p. 567. Ὅ τε Ἡρώδης ὁ Παλαιστινός, αἰτίαν τινὰ ἀπὸ τῶν ἀδελφῶν λαβών, ὑπὸ τὰς Ἄλπεις ὑπερωρίσθη καὶ τὸ μέρος τῆς ἀρχῆς αὐτοῦ ἐδημοσιώθη [a Caesare Augusto].

Conventicula Judaeorum prohibita.

Lib. LX. p. 669. Τούς τε Ἰουδαίους, πλεονάσαντας αὖθις, ὥστε χαλεπῶς ἂν ἄνευ ταραχῆς ὑπὸ τοῦ ὄχλου σφῶν τῆς πόλεως εἰρχθῆναι, οὐκ ἐξήλασε μὲν [Κλαύδιος], τῷ δὲ δὴ πατρίῳ νόμῳ βίῳ χρωμένους ἐκέλευσε μὴ συναθροίζεσθαι.

Agrippa Palaestinam recepit.

Lib. LX. p. 670. Τῷ γὰρ Ἀγρίππᾳ τῷ Παλαιστινῷ, συμπράξαντί οἱ τὴν ἡγεμονείαν (ἔτυχε γὰρ ἐν τῇ Ῥώμῃ ὤν) τήν τε ἀρχὴν προσεπηύξησε [Κλαύδιος] καὶ τιμὰς ὑπατικὰς ἔνειμε, τῷ δὲ ἀδελφῷ αὐτοῦ Ἡρώδῃ τό τε στρατηγικὸν ἀξίωμα καὶ δυναστείαν τινὰ ἔδωκε καὶ ἔς τε τὸ συνέδριον ἐσελθεῖν σφίσι καὶ χάριν οἱ Ἑλληνιστὶ γνῶναι ἐπέτρεψε.

Hierosolyma capta, urbs atque templum dirutum.

Lib. LXVI, excerpt. Xiphil. p. 746. Ὁ δὲ Τίτος, τῷ πρὸς Ἰουδαίους πολέμῳ ἐπιταχθείς, τὰ Ἱεροσόλυμα εἷλε καὶ τὸν ναὸν ἐνέπρησε· τοῖς δὲ Ἰουδαίοις οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ νίκη καὶ σωτηρία εὐδαιμονία τε εἶναι ἐδόκει, ὅτι τῷ ναῷ συναπώλοντο. Ἑάλωσαν δ' οὖν καὶ ὥς ἄλλοι τε καὶ ὁ Βαρπορᾶς ὁ ἄρχων αὐτῶν καὶ μόνος τε οὗτος ἐν τοῖς ἐπινικίοις ἐκολάσθη. Οὕτω μὲν τὰ Ἱεροσόλυμα ἐν αὐτῇ τῇ τοῦ Κρόνου ἡμέρᾳ, ἣν μάλιστα ἔτι καὶ νῦν Ἰουδαῖοι σέβουσιν, ἐξώλετο.

Oppugnationis descriptio Hierosolymorum.

Lib. LXVI. p. 746. ss. excerpt. Theodos. Ὁ Τίτος τῷ τῶν Ἰουδαίων πολέμῳ προσταχθείς, ἐπεχείρησε μὲν αὐτοὺς λόγοις τισὶ καὶ ἐπαγγελίαις προσποιήσασθαι· μὴ πεισθεῖσι δὲ ἐπολέμει. καὶ μάχαις μὲν πρώταις ἀγχώμαλα

ἀγωνισάμενος, εἶτα κρατήσας, ἐπολιόρκει τὰ Ἱεροσόλυμα· ἦν δὲ τρία αὐτοῖς σὺν τῷ τοῦ νεὼ περιβόλῳ τείχη. οἵ τε οὖν Ῥωμαῖοι χώματά τε πρὸς τὸ τεῖχος ἐχώννυσαν, καὶ μηχανήματα προσῆγον, τούς τε ἐπεκθέοντας ὁμόσε ἰόντες ἀνέστελλον, καὶ τοὺς ἐπὶ τοῦ τείχους ὄντας σφενδόναις καὶ τοξεύμασιν ἀνεῖργον. συχνοὺς γὰρ καὶ παρὰ βαρβάρων τινῶν βασιλέων πεμφθέντας εἶχον; καὶ οἱ Ἰουδαῖοι, πολλοὶ μὲν αὐτόθεν, πολλοὶ δὲ καὶ παρὰ τῶν ὁμοήθων, οὐχ ὅτι ἐκ τῆς αὐτῆς τῶν Ῥωμαίων ἀρχῆς, ἀλλὰ καὶ ἐκ τῶν πέραν Εὐφράτου προσβεβοηθηκότες, βέλη τε καὶ αὐτοί, καὶ λίθους, τοὺς μὲν ἐκ χειρὸς, τοὺς δὲ καὶ μηχαναῖς σφοδρότερον, ἅτε καὶ ἀφ' ὑψηλοῦ, ἔπεμπον. καὶ ἐπεξιόντες, ᾗ καιρὸς ἦν, νυκτός τε καὶ ἡμέρας, τὰς μηχανὰς ἐνεπίμπρασαν, συχνοὺς ἀπεκτείννυσαν, τόν τε χοῦν ὑπορύσσοντες ὑπὸ τὸ τεῖχος ὑφεῖλκον, καὶ τοὺς κριοὺς τοὺς μὲν βρόχοις ἀνεῖλκον, τοὺς δὲ ἁρπάγαις ἀνέσπων, ἑτέρων τὰς προσβολὰς σανίσι παχείαις, συμπεπηγμέναις τε καὶ σεσιδηρωμέναις, ἃς πρὸ τοῦ τείχους καθίεσαν, ἀπέστρεφον. τὸ δὲ δὴ πλεῖστον οἱ Ῥωμαῖοι τῇ ἀνυδρίᾳ ἐκακοπάθουν, καὶ φαῦλον καὶ πόρρωθεν ὕδωρ ἐπαγόμενοι· οἱ δὲ Ἰουδαῖοι διὰ τῶν ὑπονόμων ἴσχυον. ὀρωρυγμένους τε γὰρ αὐτοὺς ἔνδοθεν ὑπὸ τὰ τείχη μέχρι πόρρω τῆς χώρας εἶχον, καὶ δι' αὐτῶν διεξιόντες, τοῖς τε ὑδρευομένοις ἐπετίθεντο, καὶ τοὺς ἀποσκεδαννυμένους ἐλυμαίνοντο· οὓς ὁ Τίτος πάντας ἀπέφραξε. κἀν τοῖς ἔργοις τούτοις πολλοὶ ἐτιτρώσκοντο ἑκατέρων, καὶ ἔθνησκον. καὶ ὁ Τίτος αὐτὸς λίθῳ τὸν ἀριστερὸν ὦμον ἐπλήγη, καὶ ἀπ' αὐτοῦ τὴν χεῖρα ἀσθενεστέραν εἶχε. χρόνῳ δ' οὖν ποτε τοῦ ἔξω περιβόλου οἱ Ῥωμαῖοι ἐπέβησαν. ἐν μέσῳ δὲ τῶν δύο περιβόλων στρατοπεδευσάμενοι, πρὸς τὸ ἕτερον τεῖχος προσέβαλον. οὐ μέντοι καὶ ὁμοία ἡ πρόσμιξις σφίσιν ἐγίγνετο. ἀναχωρήσαντες γὰρ ἐς ἐκεῖνο πάντες, ῥᾷον (ἅτε καὶ ἐκ βραχυτέρας τῆς τοῦ κύκλου περιβολῆς) ἠμύνοντο. ὁ οὖν Τίτος κήρυγμα αὖθις, ἄδειαν αὐτοῖς διδοὺς, ἐποιήσατο. ἐκεῖνοί τε οὖν καὶ ὧς ἐκαρτέρουν. καὶ

οἱ ἁλισκόμενοι, οἵ τε αὐτομολοῦντες σφῶν, τὸ ὕδωρ τῶν Ῥωμαίων λανθανόντως ἔφθειρον, καὶ τῶν ἀνθρώπων οὓς που μόνους ἀπολάβοιεν, ἔσφαζον. ὁ δὲ Τίτος οὐκέτ' οὐδένα αὐτῶν ἐδέχετο. κἀν τούτῳ καὶ τῶν Ῥωμαίων τινὲς ἀδημονήσαντες, οἷα ἐν χρονίᾳ πολιορκίᾳ, καὶ προσυποτοπήσαντες, ὅπερ ἐθρυλλεῖτο, ἀπόρθητον ὄντως τὴν πόλιν εἶναι, μετέστησαν· καὶ αὐτοὺς ἐκεῖνοι, καίπερ σπανίζοντες τῆς τροφῆς, περιεῖπον, ἐς ἐπίδειξιν τοῦ καὶ αὐτοὶ αὐτομόλους ἔχειν. διακοπέντος δὲ τοῦ τείχους μηχαναῖς, κατὰ μὲν ταῦτο οὐδ' ὡς ἐάλωσαν, ἀλλὰ καὶ πάνυ πολλοὺς ἐσβιαζομένους ἀπέκτειναν. ἐμπρήσαντες δέ τινα τῶν ἐγγὺς οἰκοδομημάτων, ὡς καὶ ἐκ τούτου τοὺς Ῥωμαίους περαιτέρω, κἂν τοῦ κύκλου κρατήσωσι, προελθεῖν κωλύσαντες, τό τε τεῖχος ἐλυμήναντο, καὶ τὸν περίβολον τὸν περὶ τὸ τεμένισμα, ἄκοντες συγκατέφλεξαν, καὶ ἀνεώχθη ἡ εἴσοδος ἡ ἐπὶ τὸν νεὼν τοῖς Ῥωμαίοις. οὐ μὴν καὶ παραχρῆμα, διὰ τὸ δεισιδαιμονῆσαι, ἐσέδραμον· ἀλλ' ὀψέ ποτε, τοῦ Τίτου σφᾶς καταναγκάσαντος, εἴσω προεχώρησαν. καὶ αὐτοὺς οἱ Ἰουδαῖοι πολὺ προθυμότερον, ὥσπερ τι ἕρμαιον, τὸ πρός τε τῷ ναῷ, καὶ ὑπὲρ αὐτοῦ μαχόμενοι πεσεῖν, εὑρηκότες ἠμύνοντο. ὁ μὲν δῆμος κάτω ἐν τῷ προνάῳ, οἱ δὲ βουλευταὶ ἐν τοῖς ἀναβασμοῖς, οἵ θ' ἱερεῖς ἐν αὐτῷ τῷ μεγάρῳ τεταγμένοι. καὶ οὐ πρότερόν γε ἐνικήθησαν, καίπερ ὀλίγοι πρὸς πολλῷ πλείους μαχόμενοι, πρὶν ὑποπρησθῆναί τι τοῦ νεώ. τότε γὰρ ἐθελούσιοι, οἱ μὲν ξίφεσι σφᾶς τοῖς τῶν Ῥωμαίων περιέπειραν, οἱ δὲ ἀλλήλους ἐφόνευον, ἄλλοι ἑαυτοὺς κατεχρῶντο, οἱ δὲ ἐς τὸ πῦρ ἐσεπήδων· καὶ ἐδόκει πᾶσι μέν, μάλιστα δὲ ἐκείνοις, οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ νίκη, καὶ σωτηρία, εὐδαιμονία τε εἶναι, ὅτι τῷ ναῷ συνεπόλλυντο. ἐάλωσαν δ' οὖν καὶ ὡς ἄλλοι τε, καὶ ὁ Βαρπόρης· καὶ μόνος γε οὗτος ἐν τοῖς ἐπινικίοις ἐκολάσθη. οὕτω τὰ Ἱεροσόλυμα ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ, ἣν μάλιστα ἔτι καὶ νῦν σέβουσι, ἐξώλετο.

Damnati sunt, qui in

Lib. LXVII, excerpt. Xiphil. p. 766. Ὑφ' ἧς [ἀθεό-

τητος] καὶ ἄλλοι ἐς τὰ τῶν Ἰουδαίων ἤθη ἐξοκέλλοντες πολλοὶ κατεδικάσθησαν [Domitiano cos.]. καὶ οἱ μὲν ἀπέθανον, οἱ δὲ τῶν γοῦν οὐσιῶν ἐστερήθησαν.

mores transierant Judaeorum.

Lib. LXVIII. excerpt. Xiphil. p. 786. Καὶ ἐν τούτῳ [dum Trajanus a Parthis premebatur] οἱ κατὰ Κυρήνην Ἰουδαῖοι, Ἀνδρείαν τινὰ προστησάμενοι σφῶν, τούς τε Ῥωμαίους καὶ τοὺς Ἕλληνας ἔφθειρον καὶ τάς τε σάρκας αὐτῶν ἐσιτοῦντο καὶ τὰ ἔντερα ἀνεδοῦντο, τῷ τε αἵματι ἠλείφοντο καὶ τὰ ἀπολέμματα ἐνεδύοντο· πολλοὺς δὲ καὶ μέσους ἀπὸ κορυφῆς διέπριον, θηρίοις ἑτέρους ἐδίδοσαν καὶ μονομαχεῖν ἄλλους ἠνάγκαζον, ὥστε τὰς πάσας δύο καὶ εἴκοσι μυριάδας ἀπολέσθαι. Ἔν τε Αἰγύπτῳ πολλὰ ἔδρασαν ὅμοια καὶ ἐν τῇ Κύπρῳ, ἡγουμένου σφίσιν Ἀρτεμίωνος· καὶ ἀπώλοντο καὶ ἐκεῖ μυριάδες τέσσαρες καὶ εἴκοσι. Καὶ διὰ τοῦτ' οὐδὲν Ἰουδαίῳ ἐπιβῆναι αὐτῆς ἔξεστιν, ἀλλὰ κἂν ἀνέμῳ τὶς βιασθεὶς εἰς τὴν νῆσον ἐμπέσῃ, θανατοῦται. Ἀλλ' Ἰουδαίους μὲν ἄλλοι τε καὶ Λούσιος ὑπὸ Τραϊανοῦ πεμφθεὶς κατεστρέψαντο.

Judaeorum circa Cyrenen motus.

Crudelitas eorum.

Judaeis Cyprum adire non licet.

Lib. LXIX. p. 792. s. [Omnes imperii sui partes permigrans, Hadrianus] διὰ δὲ τῆς Ἰουδαίας μετὰ ταῦτα εἰς Αἴγυπτον παριὼν καὶ ἐνήγισε τῷ Πομπηΐῳ. — Ἐς δὲ τὰ Ἱεροσόλυμα πόλιν αὐτοῦ ἀντὶ τῆς κατασκαφείσης οἰκίσαντος, ἣν καὶ Αἰλίαν Καπιτωλίνην ὠνόμασε, καὶ ἐς τὸν τοῦ ναοῦ τοῦ θεοῦ τόπον ναὸν τῷ Διὶ ἕτερον ἀντεγείραντος, πόλεμος οὔτε μικρὸς οὔτ' ὀλιγοχρόνιος ἐκινήθη. Ἰουδαῖοι γάρ, δεινόν τι ποιούμενοι τὸ ἀλλοφύλων τινὰς ἐς τὴν πόλιν σφῶν οἰκισθῆναι, καὶ τὸ ἱερὰ ἀλλότρια ἐν αὐτῇ ἱδρυσθῆνάι, παρόντος μὲν ἔν τε τῇ Αἰγύπτῳ καὶ αὖθις ἐν τῇ Συρίᾳ τοῦ Ἀδριανοῦ, ἡσύχαζον, πλὴν καθ' ὅσον τὰ ὅπλα τὰ ἐπιταχθέντα σφίσιν ἧττον ἐπιτήδεια ἐξεπίτηδες κατεσκεύασαν ὡς ἀποδοκιμασθεῖσιν αὐτοῖς ὑπ' ἐκείνων χρήσασθαι. Ἐπεὶ δὲ πόῤῥω ἐγένετο, φανερῶς ἀπέστησαν καὶ παρατάξει μὲν φανερᾷ οὐκ ἐτόλμων διακινδυνεῦσαι πρὸς τοὺς Ῥωμαίους, τὰ δὲ τῆς χώρας ἐπίκαιρα

Hadriano regnante rebellant Judaei et palam deficiunt.

κατελάμβανον καὶ ὑπονόμοις καὶ τείχεσιν ἐκρατύνοντο, ὅπως ἀναφυγάς τε, ὁπόταν βιασθῶσιν, ἔχωσι, καὶ παρ' ἀλλήλοις ὑπὸ γῆν διαφοιτῶντες λανθάνωσι, διαδιδράντες ἄνω τὰς ὑπογείους ὁδοὺς, ἵνα καὶ ἄνεμον καὶ φέγγος εἰσδέχοιντο.

Bellum contra Judaeos.

Καὶ τὸ μὲν πρῶτον ἐν οὐδενὶ αὐτοὺς λόγῳ οἱ Ῥωμαῖοι ἐποιοῦντο· ἐπεὶ δ' ἥ τε Ἰουδαία πᾶσα ἐκεκίνητο καὶ οἱ ἀπανταχοῦ γῆς Ἰουδαῖοι συνεταράττοντο καὶ συνήεσαν, πολλὰ κακὰ ἐς τοὺς Ῥωμαίους τὰ μὲν λάθρα τὰ δὲ καὶ φανερῶς ἐνεδείκνυντο, πολλοί τε ἄλλοι καὶ τῶν ἀλλοφύλων ἐπιθυμίᾳ κέρδους σφίσι συνελαμβάνοντο καὶ πάσης, ὡς εἰπεῖν, κινουμένης ἐπὶ τούτῳ τῆς οἰκουμένης, τότε δὴ τότε τοὺς κρατίστους τῶν στρατηγῶν ὁ Ἀδριανὸς ἐπ' αὐτοὺς ἔπεμψεν, ὧν πρῶτος Ἰούλιος Σεβῆρος ὑπῆρχεν, ἀπὸ Βρεττανίας, ἧς ἦρχεν, ἐπὶ τοὺς Ἰουδαίους σταλείς· ὃς ἄντικρυς μὲν οὐδαμόθεν ἐτόλμησε τοῖς ἐναντίοις συμβαλεῖν, τό τε πλῆθος καὶ τὴν ἀπόγνωσιν αὐτῶν ὁρῶν· λαμβάνων δ' ὡς ἑκάστους πλήθει τῶν στρατιωτῶν καὶ τῶν ὑπάρχων, καὶ τροφῆς ἀπείργων καὶ κατακλείων, ἐδυνήθη βραδύτερον μὲν, ἀκινδυνώτερον δὲ κατατρίψαι καὶ ἐκτρυχῶσαι καὶ ἐκκόψαι αὐτούς.

Romani, multis amissis, Judaeam relinquunt desertam.

Ὀλίγοι δ' οὖν κομιδῇ περιεγένοντο· καὶ φρούρια μὲν αὐτῶν πεντήκοντα τάγε ἀξιολογώτατα, κῶμαι δὲ ἐννακόσιαι καὶ ὀγδοήκοντα καὶ πέντε ὀνομαστόταται κατεστράφησαν· ἄνδρες δὲ ὀκτὼ καὶ πεντήκοντα μυριάδες ἐσφάγησαν ἔν τε ταῖς καταδρομαῖς καὶ ταῖς μάχαις. Τῶν τε γὰρ λιμῷ καὶ νόσῳ καὶ πυρὶ φθαρέντων τὸ πλῆθος ἀνεξερεύνητον ἦν, ὥστε πᾶσαν ὀλίγον δεῖν τὴν Ἰουδαίαν ἐρημωθῆναι, καθάπερ που καὶ πρὸ τοῦ πολέμου αὐτοῖς προεδείχθη. Τὸ γὰρ μνημεῖον τοῦ Σολομῶντος ὃν ἐν τοῖς σεβασμίοις οὗτοι ἄγουσιν, ἀπὸ ταυτομάτου διελύθη τε καὶ συνέπεσε, καὶ λύκοι ὕαιναί τε πολλαὶ ἐς τὰς πόλεις αὐτῶν ἐσέπιπτον ὠρυόμενοι. Πολλοὶ μέντοι ἐν τῷ πολέμῳ τούτῳ καὶ τῶν Ῥωμαίων ἀπώλοντο. Διὸ καὶ ὁ Ἀδριανὸς γράφων πρὸς τὴν βουλὴν οὐκ ἐχρήσατο τῷ προοιμίῳ τῷ συνήθει τοῖς αὐτοκράτορσι, ὅτι, Εἰ αὐτοί τε καὶ οἱ παῖδες ὑμῶν

δὴ κατὰ ταῦτα περιστέλλοιεν Ἰουδαῖοι τὸν ἴδιον νόμον· οὐ μεμπτὰ αὐτῶν, ἐκείνων δὲ μᾶλλον, τῶν καταλιπόντων τὰ σφέτερα, καὶ τὰ Ἰουδαίων προσποιουμένων. εἰ δ' ὥς τι σοφώτερον εἰδότες σεμνύνονταί τε, καὶ τὴν ἄλλων κοινωνίαν οὐκ ἐξ ἴσου καθαρῶς ἀποστρέφονται· ἤδη ἀκηκόασιν, ὅτι οὐδὲ τὸ περὶ οὐρανοῦ δόγμα ἴδιον λέγουσιν· ἀλλ' ἵνα πάντα ἐάσω, καὶ Πέρσαις (ὥς που δηλοῖ καὶ Ἡρόδοτος) πάλαι δεδογμένον. νομίζουσι γὰρ, φησὶ, Διΐ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἕρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. οὐδὲν οὖν οἴομαι διαφέρειν Δία Ὕψιστον καλεῖν, ἢ Ζῆνα, ἢ Ἀδωναῖον, ἢ Σαβαώθ, ἢ Ἀμμοῦν (ὡς Αἰγύπτιοι) ἢ Παπαῖον (ὡς Σκύθαι). οὐ μὴν οὐδὲ κατὰ ταῦτα ἁγιώτεροι τῶν ἄλλων ἂν εἶεν, ὅτι περιτέμνονται· τοῦτο γὰρ Αἰγύπτιοι, καὶ Κόλχοι, πρότεροι. οὐδ' ὅτι συῶν ἀπέχονται· καὶ γὰρ ταῦτ' Αἰγύπτιοι, καὶ προσέτι αἰγῶν τε καὶ οἰῶν, καὶ βοῶν τε καὶ ἰχθύων· καὶ κυάμων γε Πυθαγόρας τε καὶ οἱ μαθηταὶ, καὶ ἐμψύχων ἁπάντων. οὐ μὴν οὐδ' εὐδοκιμεῖν παρὰ τῷ θεῷ καὶ στέργεσθαι διαφόρως τι τῶν ἄλλων τούτους, εἰκός· καὶ πέμπεσθαι μόνοις αὐτοῖς ἐκεῖθεν ἀγγέλους, ὅτι δή τινα μακάρων χώραν λαχοῦσιν. ὁρῶμεν γὰρ αὐτούς τε καὶ τὴν χώραν, τίνων ἠξίωνται. οὗτος μὲν οὖν ὁ χορὸς ἀπίτω, δίκην ἀλαζονείας ὑποσχών· οὐκ εἰδὼς τὸν μέγαν θεὸν, ἀλλ' ὑπὸ τῆς Μωϋσέως γοητείας ὑπαχθεὶς τε καὶ ψευσθεὶς, κἀκείνης οὐκ ἐπ' ἀγαθῷ τέλει γεγονὼς μαθητής.

tota pectore complectuntur.

Jovi sacrificant in montibus.

Circumciduntur. Sue abstinent.

Moses deceptor.

Minucius Felix. 180 p. Ch.

Octavius c. X. Judaeorum sola et misera gentilitas unum et ipsi Deum sed palam, sed templis, aris, victimis ceremoniisque coluerunt; cujus adeo nulla vis nec potestas est, ut sit Romanis numinibus cum sua sibi natione captivus.

Unus Deus Judaeorum. *Tac.* Hist. V, 5. 8. *Diod. Sic.* XXXIV. p. 524. *Juv.* Sat. XIV, 103.

Qualis sit. *Cicero*, pro Flacc. c. 28.

issetque omnis Aegyptus fame, nisi monitu ejus rex edicto servari per multos annos fruges jussisset; tantaque experimenta ejus fuerunt, ut non ab homine sed a Deo responsa dari viderentur. Filius ejus Moses fuit, quem praeter paternae scientiae hereditatem etiam formae pulchritudo commendabat. Sed Aegyptii quum scabiem et vitiligiuem paterentur, responso moniti eum cum aegris, ne pestis ad plures serperet, terminis Aegypti pellunt. Dux igitur exulum factus, sacra Aegyptiorum furto abstulit, quae repetentes armis Aegyptii, domum redire tempestatibus compulsi sunt. Itaque Moses Damascena antiqua patria repetita, montem Synai occupat, quo septem dierum jejunio per deserta Arabiae cum populo suo fatigatus, quum tandem venisset, septimum diem, more gentis Sabbatum appellatum, in omne aevum jejunio sacravit, quoniam illa dies famem illis erroremque finierat. Et quoniam metu contagionis pulsos ab Aegypto meminerant, ne eadem causa invisi apud incolas forent, caverunt, ne cum peregrinis communicarent: quod ex causa factum paullatim in disciplinam religionemque convertit. Post Mosen etiam filius ejus *Aruas*, sacerdos sacris Aegyptiis mox rex creatur; semperque exinde hic mos apud Judaeos fuit, ut eosdem reges et sacerdotes haberent, quorum justitia religione permixta incredibile quantum coaluere.

Moses magnae pulchritudinis. *Suidas* sub Tit. Μωϋσῆς. Magus fuit. *Plin.* XXX, 1. *Strabo*, XVI p. 525. Exulum dux. Sacra Aegyptiorum furto abstulit. Sabbatum. *Plutarch.* Symp. IV. *Sueton.* August. c. 76. *Luc.* XVIII, 12. Cur alias gentes vitaverint Judaei. *Juven.* Sat. XIV. *Joseph.* Ant. XIII, 19.

Cap. 3. Opes genti ex vectigalibus opobalsami crevere, quod in his tantum regionibus gignitur. Est namque vallis, quae continuis montibus, velut muro quodam, ad instar castrorum clauditur. Spatium loci ducenta jugera, nomine Hierichus dicitur. In ea valle silva est, et ubertate et amoenitate insignis, siquidem palmeto et opobalsameto distinguitur. Arbores opobalsami formam similem piceis arboribus habent, nisi quod sunt humiles magis et in vinearum morem exco-

Opobalsamum. *Plin.* XII, 25. *Strabo.* XVI, p. 525.

ἀγωνισάμενος, εἶτα κρατήσας, ἐπολιόρκει τὰ Ἱεροσόλυμα· ἦν δὲ τρία αὐτοῖς σὺν τῷ τοῦ νεὼ περιβόλῳ τείχη. οἵ τε οὖν Ῥωμαῖοι χώματά τε πρὸς τὸ τεῖχος ἐχώννυσαν, καὶ μηχανήματα προσῆγον, τούς τε ἐπεκθέοντας ὁμόσε ἰόντες ἀνέστελλον, καὶ τοὺς ἐπὶ τοῦ τείχους ὄντας σφενδόναις καὶ τοξεύμασιν ἀνεῖργον. συχνοὺς γὰρ καὶ παρὰ βαρβάρων τινῶν βασιλέων πεμφθέντας εἶχον; καὶ οἱ Ἰουδαῖοι, πολλοὶ μὲν αὐτόθεν, πολλοὶ δὲ καὶ παρὰ τῶν ὁμοήθων, οὐχ ὅτι ἐκ τῆς αὐτῆς τῶν Ῥωμαίων ἀρχῆς, ἀλλὰ καὶ ἐκ τῶν πέραν Εὐφράτου προσβεβοηθηκότες, βέλη τε καὶ αὐτοί, καὶ λίθους, τοὺς μὲν ἐκ χειρὸς, τοὺς δὲ καὶ μηχαναῖς σφοδρότερον, ἅτε καὶ ἀφ' ὑψηλοῦ, ἔπεμπον. καὶ ἐπεξιόντες, ᾗ καιρὸς ἦν, νυκτός τε καὶ ἡμέρας, τὰς μηχανὰς ἐνεπίμπρασαν, συχνοὺς ἀπεκτείννυσαν, τόν τε χοῦν ὑπορύσσοντες ὑπὸ τὸ τεῖχος ὑφεῖλκον, καὶ τοὺς κριοὺς τοὺς μὲν βρόχοις ἀνεῖλκον, τοὺς δὲ ἁρπάγαις ἀνέσπων, ἑτέρων τὰς προσβολὰς σανίσι παχείαις, συμπεπηγμέναις τε καὶ σεσιδηρωμέναις, ἃς πρὸ τοῦ τείχους καθίεσαν, ἀπέστρεφον. τὸ δὲ δὴ πλεῖστον οἱ Ῥωμαῖοι τῇ ἀνυδρίᾳ ἐκακοπάθουν, καὶ φαῦλον καὶ πόρρωθεν ὕδωρ ἐπαγόμενοι· οἱ δὲ Ἰουδαῖοι διὰ τῶν ὑπονόμων ἴσχυον. ὀρωρυγμένους τε γὰρ αὐτοὺς ἔνδοθεν ὑπὸ τὰ τείχη μέχρι πόρρω τῆς χώρας εἶχον, καὶ δι' αὐτῶν διεξιόντες, τοῖς τε ὑδρευομένοις ἐπετίθεντο, καὶ τοὺς ἀποσκεδαννυμένους ἐλυμαίνοντο· οὓς ὁ Τίτος πάντας ἀπέφραξε. κἀν τοῖς ἔργοις τούτοις πολλοὶ ἐτιτρώσκοντο ἑκατέρων, καὶ ἔθνησκον. καὶ ὁ Τίτος αὐτὸς λίθῳ τὸν ἀριστερὸν ὦμον ἐπλήγη, καὶ ἀπ' αὐτοῦ τὴν χεῖρα ἀσθενεστέραν εἶχε. χρόνῳ δ' οὖν ποτε τοῦ ἔξω περιβόλου οἱ Ῥωμαῖοι ἐπέβησαν. μέσῳ δὲ τῶν δύο περιβόλων στρατοπεδευσάμενοι, πρὸς ἕτερον τεῖχος προσέβαλον. οὐ μέντοι καὶ ὁμοία ἡ πρόξις σφίσιν ἐγίγνετο. ἀναχωρήσαντες γὰρ ἐς ἐκεῖνο πάντες, ῥᾷον (ἅτε καὶ ἐκ βραχυτέρας τῆς τοῦ κύκλου περιβολῆς) ἠμύνοντο. ὁ οὖν Τίτος κήρυγμα αὖθις, ἄδειαν αὐτοῖς διδοὺς, ἐποιήσατο. ἐκεῖνοί τε οὖν καὶ ὡς ἐκαρτέρουν. καὶ

Idumaeus, rex Judaeae.

στίγωσε, σταυρῷ προσδήσας (ὃ μηδεὶς ἄλλος βασιλεὺς ὑπὸ τῶν Ῥωμαίων ἐπεπόνθει) καὶ μετὰ τοῦτο καὶ ἀπέσφαξεν. Ἐπὶ μὲν δὴ τοῦ Κλαυδίου τοῦ τε Νωρβάνου τοῦθ' οὕτως ἐγένετο.

Augustus regnum tribuit Herodi Zenodori.

Lib. LIII. p. 526. Τῷ δὲ Ἡρώδῃ Ζηνοδώρου τινὸς τετραρχίαν ἐπέτρεψε [sc. Αὔγουστος].

Herodes [Archelaus] relegatus.

Lib. LV. p. 567. Ὅ τε Ἡρώδης ὁ Παλαιστινός, αἰτίαν τινὰ ἀπὸ τῶν ἀδελφῶν λαβών, ὑπὸ τὰς Ἄλπεις ὑπερωρίσθη καὶ τὸ μέρος τῆς ἀρχῆς αὐτοῦ ἐδημοσιώθη [a Caesare Augusto].

Conventicula Judaeorum prohibita.

Lib. LX. p. 669. Τούς τε Ἰουδαίους, πλεονάσαντας αὖθις, ὥστε χαλεπῶς ἂν ἄνευ ταραχῆς ὑπὸ τοῦ ὄχλου σφῶν τῆς πόλεως εἰρχθῆναι, οὐκ ἐξήλασε μέν [Κλαύδιος], τῷ δὲ δὴ πατρίῳ νόμῳ βίῳ χρωμένους ἐκέλευσε μὴ συναθροίζεσθαι.

Agrippa Palaestinam recepit.

Lib. LX. p. 670. Τῷ γὰρ Ἀγρίππᾳ τῷ Παλαιστινῷ, συμπράξαντί οἱ τὴν ἡγεμονείαν (ἔτυχε γὰρ ἐν τῇ Ῥώμῃ ὤν) τήν τε ἀρχὴν προσεπηύξησε [Κλαύδιος] καὶ τιμὰς ὑπατικὰς ἔνειμε, τῷ δὲ ἀδελφῷ αὐτοῦ Ἡρώδῃ τό τε στρατηγικὸν ἀξίωμα καὶ δυναστείαν τινὰ ἔδωκε καὶ ἔς τε τὸ συνέδριον ἐσελθεῖν σφίσι καὶ χάριν οἱ Ἑλληνιστὶ γνῶναι ἐπέτρεψε.

Hierosolyma capta, urbs atque templum dirutum.

Lib. LXVI, excerpt. Xiphil. p. 746. Ὁ δὲ Τίτος, τῷ πρὸς Ἰουδαίους πολέμῳ ἐπιταχθείς, τὰ Ἱεροσόλυμα εἷλε καὶ τὸν ναὸν ἐνέπρησε· τοῖς δὲ Ἰουδαίοις οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ νίκη καὶ σωτηρία εὐδαιμονία τε εἶναι ἔδόκει, ὅτι τῷ ναῷ συναπώλοντο. Ἑάλωσαν δ' οὖν καὶ ὡς ἄλλοι τε καὶ ὁ Βαρπορᾶς ὁ ἄρχων αὐτῶν καὶ μόνος τε οὗτος ἐν τοῖς ἐπινικίοις ἐκολάσθη. Οὕτω μὲν τὰ Ἱεροσόλυμα ἐν αὐτῇ τῇ τοῦ Κρόνου ἡμέρᾳ, ἣν μάλιστα ἔτι καὶ νῦν Ἰουδαῖοι σέβουσιν, ἐξώλετο.

Oppugnationis descriptio Hierosolymorum.

Lib. LXVI. p. 746. ss. excerpt. Theodos. Ὁ Τίτος τῷ τῶν Ἰουδαίων πολέμῳ προσταχθείς, ἐπεχείρησε μὲν αὐτοὺς λόγοις τισὶ καὶ ἐπαγγελίαις προσποιήσασθαι· μὴ πεισθεῖσι δὲ ἐπολέμει. καὶ μάχαις μὲν πρώταις ἀγχώμαλα

ἀγωνισάμενος, εἶτα κρατήσας, ἐπολιόρκει τὰ Ἱεροσόλυμα· ἦν δὲ τρία αὐτοῖς σὺν τῷ τοῦ νεὼ περιβόλῳ τείχη. οἵ τε οὖν Ῥωμαῖοι χώματά τε πρὸς τὸ τεῖχος ἐχώννυσαν, καὶ μηχανήματα προσῆγον, τούς τε ἐπεκθέοντας ὁμόσε ἰόντες ἀνέστελλον, καὶ τοὺς ἐπὶ τοῦ τείχους ὄντας σφενδόναις καὶ τοξεύμασιν ἀνεῖργον. συχνοὺς γὰρ καὶ παρὰ βαρβάρων τινῶν βασιλέων πεμφθέντας εἶχον; καὶ οἱ Ἰουδαῖοι, πολλοὶ μὲν αὐτόθεν, πολλοὶ δὲ καὶ παρὰ τῶν ὁμοήθων, οὐχ ὅτι ἐκ τῆς αὐτῆς τῶν Ῥωμαίων ἀρχῆς, ἀλλὰ καὶ ἐκ τῶν πέραν Εὐφράτου προσβεβοηθηκότες, βέλη τε καὶ αὐτοί, καὶ λίθους, τοὺς μὲν ἐκ χειρὸς, τοὺς δὲ καὶ μηχαναῖς σφοδρότερον, ἅτε καὶ ἀφ' ὑψηλοῦ, ἔπεμπον. καὶ ἐπεξιόντες, ἢ καιρὸς ἦν, νυκτός τε καὶ ἡμέρας, τὰς μηχανὰς ἐνεπίμπρασαν, συχνοὺς ἀπεκτείννυσαν, τόν τε χοῦν ὑπορύσσοντες ὑπὸ τὸ τεῖχος ὑφεῖλκον, καὶ τοὺς κριοὺς τοὺς μὲν βρόχοις ἀνεῖλκον, τοὺς δὲ ἁρπάγαις ἀνέσπων, ἑτέρων τὰς προσβολὰς σανίσι παχείαις, συμπεπηγμέναις τε καὶ σεσιδηρωμέναις, ἃς πρὸ τοῦ τείχους καθίεσαν, ἀπέστρεφον. τὸ δὲ δὴ πλεῖστον οἱ Ῥωμαῖοι τῇ ἀνυδρίᾳ ἐκακοπάθουν, καὶ φαῦλον καὶ πόρρωθεν ὕδωρ ἐπαγόμενοι· οἱ δὲ Ἰουδαῖοι διὰ τῶν ὑπονόμων ἴσχυον. ὀρωρυγμένους τε γὰρ αὐτοὺς ἔνδοθεν ὑπὸ τὰ τείχη μέχρι πόρρω τῆς χώρας εἶχον, καὶ δι' αὐτῶν διεξιόντες, τοῖς τε ὑδρευομένοις ἐπετίθεντο, καὶ τοὺς ἀποσκεδαννυμένους ἐλυμαίνοντο· οὓς ὁ Τίτος πάντας ἀπέφραξε. κἀν τοῖς ἔργοις τούτοις πολλοὶ ἐτιτρώσκοντο ἑκατέρων, καὶ ἔθνησκον. καὶ ὁ Τίτος αὐτὸς λίθῳ τὸν ἀριστερὸν ὦμον ἐπλήγη, καὶ ἀπ' αὐτοῦ τὴν χεῖρα ἀσθενεστέραν εἶχε. χρόνῳ δ' οὖν ποτε τοῦ ἔξω περιβόλου οἱ Ῥωμαῖοι ἐπέβησαν. ἐν μέσῳ δὲ τῶν δύο περιβόλων στρατοπεδευσάμενοι, πρὸς τὸ ἕτερον τεῖχος προσέβαλον. οὐ μέντοι καὶ ὁμοία ἡ πρόσμιξις σφίσιν ἐγίγνετο. ἀναχωρήσαντες γὰρ ἐς ἐκεῖνο πάντες, ῥᾷον (ἅτε καὶ ἐκ βραχυτέρας τῆς τοῦ κύκλου περιβολῆς) ἠμύνοντο. ὁ οὖν Τίτος κήρυγμα αὖθις, ἄδειαν αὐτοῖς διδοὺς, ἐποιήσατο. ἐκεῖνοί τε οὖν καὶ ὡς ἐκαρτέρουν. καὶ

οἱ ἁλισκόμενοι, οἵ τε αὐτομολοῦντες σφῶν, τὸ ὕδωρ τῶν Ῥωμαίων λανθανόντως ἔφθειρον, καὶ τῶν ἀνθρώπων οὕς που μόνους ἀπολάβοιεν, ἔσφαζον. ὁ δὲ Τίτος οὐκέτ' οὐδένα αὐτῶν ἐδέχετο. κἀν τούτῳ καὶ τῶν Ῥωμαίων τινὲς ἀδημονήσαντες, οἷα ἐν χρονίᾳ πολιορκίᾳ, καὶ προσυποτοπήσαντες, ὅπερ ἐθρυλλεῖτο, ἀπόρθητον ὄντως τὴν πόλιν εἶναι, μετέστησαν· καὶ αὐτοὺς ἐκεῖνοι, καίπερ σπανίζοντες τῆς τροφῆς, περιεῖπον, ἐς ἐπίδειξιν τοῦ καὶ αὐτοὶ αὐτομόλους ἔχειν. διακοπέντος δὲ τοῦ τείχους μηχαναῖς, κατὰ μὲν τοῦτο οὐδ' ὡς ἐάλωσαν, ἀλλὰ καὶ πάνυ πολλοὺς ἐσβιαζομένους ἀπέκτειναν. ἐμπρήσαντες δέ τινα τῶν ἐγγὺς οἰκοδομημάτων, ὡς καὶ ἐκ τούτου τοὺς Ῥωμαίους περαιτέρω, κἂν τοῦ κύκλου κρατήσωσι, προελθεῖν κωλύσαντες, τό τε τεῖχος ἐλυμήναντο, καὶ τὸν περίβολον τὸν περὶ τὸ τεμένισμα, ἄκοντες συγκατέφλεξαν, καὶ ἀνεώχθη ἡ εἴσοδος ἡ ἐπὶ τὸν νεὼν τοῖς Ῥωμαίοις. οὐ μὴν καὶ παραχρῆμα, διὰ τὸ δεισιδαιμονῆσαι, ἐσέδραμον. ἀλλ' ὀψέ ποτε, τοῦ Τίτου σφᾶς καταναγκάσαντος, εἴσω προεχώρησαν. καὶ αὐτοὺς οἱ Ἰουδαῖοι πολὺ προθυμότερον, ὥσπερ τι ἔρμαιον, τὸ πρός τε τῷ ναῷ, καὶ ὑπὲρ αὐτοῦ μαχόμενοι πεσεῖν, εὑρηκότες ἠμύνοντο. ὁ μὲν δῆμος κάτω ἐν τῷ προνάῳ, οἱ δὲ βουλευταὶ ἐν τοῖς ἀναβασμοῖς, οἵ θ' ἱερεῖς ἐν αὐτῷ τῷ μεγάρῳ τεταγμένοι. καὶ οὐ πρότερόν γε ἐνικήθησαν, καίπερ ὀλίγοι πρὸς πολλῷ πλείους μαχόμενοι, πρὶν ὑποπρησθῆναί τι τοῦ νεώ. τότε γὰρ ἐθελούσιοι, οἱ μὲν ξίφεσι σφᾶς τοῖς τῶν Ῥωμαίων περιέπειραν, οἱ δὲ ἀλλήλους ἐφόνευον, ἄλλοι ἑαυτοὺς κατεχρῶντο, οἱ δὲ ἐς τὸ πῦρ ἐσεπήδων· καὶ ἐδόκει πᾶσι μὲν, μάλιστα δὲ ἐκείνοις, οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ νίκη, καὶ σωτηρία, εὐδαιμονία τε εἶναι, ὅτι τῷ ναῷ συνεπόλλυντο. ἐάλωσαν δ' οὖν καὶ ὡς ἄλλοι τε, καὶ ὁ Βαρπόρης· καὶ μόνος γε οὗτος ἐν τοῖς ἐπινικίοις ἐκολάσθη. οὕτω τὰ Ἱεροσόλυμα ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ, ἣν μάλιστα ἔτι καὶ νῦν σέβουσι, ἐξώλετο.

Damnati sunt, qui in

Lib. LXVII, excerpt. Xiphil. p. 766. Ὑφ' ἧς [ἀθεό-

τητος] καὶ ἄλλοι ἐς τὰ τῶν Ἰουδαίων ἤθη ἐξοκέλλοντες πολλοὶ κατεδικάσθησαν [Domitiano cos.]. καὶ οἱ μὲν ἀπέθανον, οἱ δὲ τῶν γοῦν οὐσιῶν ἐστερήθησαν.

